Αὐτοκράτορι Καίσαρι Τραϊανῷ Ἀδριανῷ Σεβαστῷ Ἀρριανὸς χαίρειν. Εἰς Τραπεζοῦντα ἥκομεν, πόλιν Ἑλληνίδα, ὡς λέγει ὁ Ξενοφῶν ἐκεῖνος, ἐπὶ θαλάττῃ ᾠκισμένην, Σινωπέων ἄποικον· καὶ τὴν μὲν θάλασσαν τὴν τοῦ Εὐξείνου ἄσμενοι κατείδομεν ὅθενπερ καὶ Ξενοφῶν καὶ σύ. καὶ οἱ βωμοὶ ἀνεστᾶσιν ἤδη, λίθου μέντοι γε τοῦ τραχέος, καὶ τὰ γράμματα διὰ τοῦτο οὐ καλῶς δῆλα κεχάρακται· τὸ δὲ Ἑλληνικὸν ἐπίγραμμα καὶ ἡμαρτημένως γέγραπται, οἷα δὴ ὑπὸ βαρβάρων γραφέν. ἔγνων οὖν τοὺς μὲν βωμοὺς λίθου λευκοῦ ἀναθεῖναι, καὶ τὰ ἐπιγράμματα ἐγχαράξαι εὐσήμοις τοῖς γράμμασιν. ὁ μὲν γὰρ ἀνδριὰς ἕστηκεν ὁ σός, τῷ μὲν σχήματι καλῶς· ἀποδείκνυσι γὰρ τὴν θάλατταν· τὴν δὲ ἐργασίαν οὔτε ὅμοιος οὔτε ἄλλως καλός. πέμψον οὖν ἀνδριάντα ἄξιον ἐπονομάζεσθαι σὸν ἐν τῷ αὐτῷ τούτῳ σχήματι. τὸ γὰρ χωρίον ἐπιτήδειόν ἐστιν εἰς μνήμην αἰώνιον. πεποίηται δὲ καὶ ὁ νεὼς λίθου τετραγώνου, οὐ φαῦλος· τὸ δὲ τοῦ Ἑρμοῦ ἄγαλμα οὔτε τοῦ νεὼ ἄξιόν ἐστιν οὔτε αὐτοῦ τοῦ χωρίου. εἰ δὲ δοκεῖ, πέμψον μοι πεντάπουν μάλιστα Ἑρμοῦ ἄγαλμα· τηλικοῦτον γάρ μοι δοκεῖ ὡς πρὸς τὸν νεὼν σύμμετρον εἶναι· καὶ ἄλλο Φιλησίου τετράπουν· οὐ γὰρ ἀπὸ τρόπου δοκεῖ μοι σύνναον καὶ σύμβωμον ἔσεσθαι τῷ προπάτορι. καὶ ὁ μέν τις τῷ Ἑρμῇ, ὁ δὲ τῷ Φιλησίῳ, ὁ δέ τις ἀμφοῖν θύσει παριών. χαριοῦνται δὲ καὶ οὗτοι τῷ τε Ἑρμῇ καὶ τῷ Φιλησίῳ, τῷ μὲν ὡς προπάτορι, τῷ δὲ ὡς ἀπογόνῳ. [illegible]

φ' ἁμάξης βοῦν λαβὼν, δι' ἀπορίαν ἱερείων, ἀλλὰ
τῶν Τραπεζουντίων αὐτῶν, παρασκευασάντων ἱε-
ρεῖον οὐκ ἀγεννές· καὶ ἐσπλαγχνευσάμεθα αὐτό-
θι καὶ ἐπὶ τοῖς σπλάγχνοις ἐπεσκεψάμεθα. ὅτῳ
δὲ πρώτῳ τἀγαθὰ ηὐχόμεθα, οὐ λανθάνομεν
σε, τὸν τρόπον τὸν ἡμέτερον οὐκ ἀγνοοῦντα
καὶ σαυτῷ συνειδότα, ὅτι ἄξιος εἶ ὑπὲρ ὅτου πάν-
τες εὔξαιντο τἀγαθά, καὶ ὅσοι [illegible]
ὑπὸ σοῦ εὖ πεπόνθασιν. ἐκ Τραπεζοῦντος δὲ

ὡρμηθέντες, τῇ μὲν πρώτῃ ἐς Ὕσσου λιμένα
κατήραμεν, καὶ τοὺς πεζοὺς τοὺς ταύτῃ ἐ-
γυμνάσαμεν· καὶ γὰρ τάξις αὕτη, ὡς οἶσθα, πεζῶν
ἐστι, καὶ ἱππέας εἴκοσιν ἔχει ὅσον διακονίας μόνης ἐς
χρείαν· ἀλλὰ καὶ τούτους τὰς λόγχας ἀκοντίσαι
ἐδέησεν. ἔνθεν δὲ ἐπλέομεν τὰ μὲν πρῶτα
ταῖς αὔραις ταῖς ἐκ τῶν ποταμῶν πνεού-
σαις ἕωθεν, καὶ ἅμα ταῖς κώπαις διαχρώμε-
νοι· ψυχραὶ μὲν γὰρ ἦσαν αἱ αὖραι, ὡς λέγει καὶ Ὅ-
μηρος, οὐχ ἱκαναὶ δὲ τοῖς ταχυναυτεῖν βουλο-
μένοις. εἶτα γαλήνη ἐπέλαβεν, ὥστε καὶ ἡμεῖς
ταῖς κώπαις μόναις ἐχρώμεθα. ἔπειτα δὲ ἄφνω
νεφέλη ἐπαναστᾶσα ἐξερράγη κατ' εὖρον μάλι-
στα, καὶ ἐπήνεγκεν ἄνεμον ἐξαίσιον, καὶ τοῦτον
ἀκριβῶς ἐναντίον, ὃς καὶ μόνος ὀλίγου ἡμᾶς
κατέδυσεν· ἐν ὀλίγῳ μὲν γὰρ ᾤδησεν ἡ θάλασσα, ὥστε οὐ κα-
τὰ τὰ κοῖλα μόνον, ἀλλὰ καὶ κατὰ τὰς κώπας, ἀλλὰ καὶ
ὑπὲρ τὰς παρεξειρεσίας [illegible] ἑκα-
τέρωθεν ἄφθονον τοῦ κλύδωνος. τοῦτο δὲ τὸ
τραγικὸν καὶ τῆς μὲν ἐξ [illegible]
[illegible]
καὶ [illegible]
καὶ μέντοι [illegible]

Ἀ-θήνας. Ἀθῆναι γάρ τοι καὶ ἐν τῷ Πόντῳ τῷ Εὐξείνῳ

Ὕσσου λιμήν

Ἀθῆναι καὶ χωρίον ἐν Πόντῳ

ὁ ἐν τῷ πόντῳ θρασκίας, σκίρων ἐν τῇ ἑλλάδι καλεῖται

χωρίον οὕτω καλούμενον· καί τι καὶ ἀθηνᾶς ἱερὸν
ἐστὶν αὐτόθι ἑλληνικόν, ὅθεν μοι δοκεῖ καὶ τὸ ὄνο
μα εἶναι τοῦτο τῷ χωρίῳ· καὶ φρούριόν τι ἐστὶν
– ἠμελημένον· ὁ δὲ ὅρμος οἷος ὥρᾳ ἔτους δέ
χεσθαι οὐ πολλὰς ναῦς καὶ σκέπην ταύταις
παρέχειν ἀπὸ νότου ἀνέμου καὶ αὐτοῦ τοῦ εὔρου·
σώζοιτο δ' ἂν καὶ τοῦ βορρᾶ τὰ ὁρμοῦντα πλοῖα·
ἀλλ' οὐ τοῦ γε ἀπαρκτίου· οὐδὲ τοῦ θρασκίου μὲν
ἐν τῷ πόντῳ, σκίρωνος δὲ ἐν τῇ ἑλλάδι κα
– λουμένου· ἐς δὲ τὴν νύκτα βρονταί τε σκλη
ραὶ καὶ ἀστραπαὶ κατέσχον· καὶ τὸ πνεῦμα οὐ τὸ αὐτὸ
ἔτι, ἀλλ' ἐς νότον μετέπεσε· καὶ δι' ὀλίγου ἀπὸ
τοῦ νότου ἐς λίβα ἄνεμον· καὶ ταῖς ναυσὶν οὐ
– κέτι ἀσφαλὴς ὁ ὅρμος ἦν· πρὶν οὖν παντάπα
σιν ἄγριον τὴν θάλασσαν, ὅσας μὲν αὐτὸ
τὸ χωρίον αἱ ἀθῆναι δέξασθαι ἠδύναντο, ταύτας
× αὐτοῦ ἐνεωλκήσαμεν, πλὴν τῆς τριήρους·
αὕτη γὰρ ἐπὶ πέτρας τινὸς ἐφορμοῦσα ἀσφαλῶς
– ἐσάλευεν· τὰς δὲ πολλὰς ἐδόκει πέμπειν ἐς
× τοὺς αἰγιαλοὺς τοὺς πλησίον νεωλκηθησο
μένας· καὶ ἐνεωλκήθησαν οὕτως ὥστε σῶαι δια
γενέσθαι πάσας, πλὴν μιᾶς ἣ ἐν τῷ ὁρ
μίζεσθαι πρὸ τοῦ καιροῦ ἐπιστραφεῖσα πλαγί
α ὑπὸ τοῦ κύματος ἐξηνέχθη ἐς τὴν ἠϊό
– να καὶ συνετρίβη· τὰ σκεύη μέντοι πάντα
οὐ τὰ ἱστία μόνον καὶ τὰ [illegible] ναυτικὰ καὶ
οἱ ἄνθρωποι, ἀλλὰ καὶ οἱ ἧλοι καὶ ὁ κηρὸς ἀπε
ξύσθη, ὥστε μηδενὸς ἑτέρου ἄλλου ἢ ξύλων δέεσθαι ναυ
× πηγικῶν [illegible]
[illegible]
– οὗτος ὁ χειμὼν [illegible] δύο ἡμέρας καὶ [illegible]
[illegible]
[illegible]

ὅπερ τινὰ ὅρμον ἔρημον καὶ ἀνώνυμον· ἔνθεν
δὲ αὔραις ὑπὸ μὲν τὴν ἕω ἀπογαίου τοῦ κύ-
δωνος ἐχρώμεθα· προϊούσης δὲ τῆς ἡμέ-
ρας, βορρᾶς ἐπιπνεύσας ὀλίγος καταστήσας
τὴν θάλατταν καὶ δὴ ἀτρεμῆσαι ἐποίησεν· καὶ
ἤλθομεν πρὸ τῆς μεσημβρίας σταδίους πλέ-
ονας ἢ πεντακοσίους ἐς Ἄψαρον, ἵνα αἱ πέν-
τε σπεῖραι ἱδρυμέναι· καὶ τὴν μισθοφορὰν
τῇ στρατιᾷ ἔδωκα καὶ τὰ ὅπλα εἶδον καὶ τὸ τεῖ-
χος καὶ τὴν τάφρον καὶ τοὺς κάμνοντας καὶ
τοῦ σίτου τὴν παρασκευὴν τὴν ἐνοῦσαν· ἡ γνώ-
μη δὲ ὑπὲρ αὐτῶν ἥντινα ἔσχον ἐν τοῖς
ῥωμαϊκοῖς γράμμασι γέγραπται· ὁ δὲ Ἄψα-
ρος τὸ χωρίον λέγουσιν ὅτι Ἄψυρτος ἐκαλεῖτο πά-
λαι πρότερον· ἐνταῦθα γὰρ τὸν Ἄψυρτον ὑπὸ τῆς Μη-
δείας ἀποθανεῖν, καὶ τάφος Ἀψύρτου δείκνυται·
εἶτα διαφθαρῆναι τοὔνομα ὑπὸ τῶν ἐπιχωρί-
ων βαρβάρων, καθάπερ καὶ ἄλλα πολλὰ διέ-
φθαρται· ὅπου γε καὶ τὰ Τύανα τὰ ἐν τοῖς Καππα-
δόκαις Θόανα λέγουσιν ὅτι πρόσθεν ὠνομάζετο, ἐπεὶ Θό-
αντα τὸν βασιλέα τῶν Ταύρων φασὶ τοὺς ἀμφὶ Ὀρέστην
καὶ Πυλάδην διώκοντα μέχρι τῆσδε τῆς χώρας
ἐλθεῖν φημίζεται, καὶ ἐνταῦθα νόσῳ ἀποθα-
νεῖν· ποταμοὺς δὲ παρημείψαμεν ἐν τῷ πα-
ράπλῳ τῷ ἐκ Τραπεζοῦντος· τὸν μὲν [illegible]
του [illegible] λιμένος, ἀπέχει Τραπε-
ζοῦντος σταδίους ὀγδοήκοντα καὶ ἑκατόν· καὶ
τὸν Ὄφιν, ὃς ἀπέχει τοῦ Ὕσσου λιμένος ἐνενή-
κοντα σταδίους μάλιστα, καὶ ὁρίζει τὴν [illegible] χώ-
ραν ἀπὸ τῆς Θιαννικῆς· ἔπειτα τὸν Ψυχρὸν κα-
λούμενον ποταμὸν, διέχει δὲ [illegible]
σταδίους ἀπὸ τοῦ Ὄφεως· ἔπειτα τὸν Καλὸν πο-
ταμὸν· καὶ οὗτος τριάκοντα διέχει ἀπὸ τοῦ Ψυ-

Ἄψαρος χωρίον· πόθεν τοὔνομα

πόθεν τοῖς Τυάνοις τὸ ὄνομα

ση(μείωσαι)

ὅτι ὁ Ὄφις ὁρίζει [illegible] βαρβαρ[illegible]

χρυσοχόμενος δὲ τοῦ ψυχροῦ [illegible] μόριζιος πο-
ταμὸς ἐκαλεῖτο [illegible] [illegible] ἔχων ἀπὸ τοῦ
καρου· καὶ ἀπὸ τούτου [illegible] [illegible] ἄσκου [illegible]
ποταμὸς· καὶ [illegible] ἀπὸ τοῦ ἀσκου [illegible]
[illegible] [illegible] δὲ [illegible] [illegible] [illegible]
[illegible] [illegible] δὲ [illegible] [illegible] πο-
ταμὸς [illegible] [illegible] [illegible] ἔχων πρὸς
[illegible]· ἀπὸ δὲ τῶν [illegible] [illegible] τὸν
[illegible] παρ' [illegible] [illegible] [illegible] καὶ [illegible]
[illegible] [illegible] καὶ οὗτος ἀπὸ [illegible] [illegible]
[illegible] [illegible] ἀπὸ τῶν [illegible] τοῦ [illegible]
[illegible] δὲ [illegible] [illegible] ποταμὸς [illegible]
[illegible] [illegible] [illegible]· καὶ ἀπὸ τοῦ [illegible]
[illegible] [illegible] [illegible] [illegible]· ἀπὸ δὲ [illegible]
[illegible] [illegible] [illegible]· ἀπὸ δὲ [illegible]
[illegible] [illegible] παρ' [illegible] [illegible]
[illegible] καὶ [illegible] ἀπὸ [illegible] τοῦ
[illegible] [illegible] ποταμὸς [illegible]
καὶ [illegible] ἀπὸ [illegible] τούτου· καὶ [illegible] ἀπὸ
τοῦ [illegible]· [illegible] [illegible] δὲ καὶ
ἀπὸ [illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible] [illegible]
[illegible] [illegible]· ἀπὸ δὲ [illegible] τὸν [illegible]
[illegible] [illegible] [illegible] [illegible]
[illegible] καὶ τοῦ [illegible]· καὶ [illegible]
ρος· [illegible] [illegible] [illegible]
[illegible] [illegible] ποταμῶν [illegible]
[illegible] [illegible] [illegible] καὶ [illegible]
[illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible] καὶ
[illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible]

[illegible] [illegible]

[illegible] [illegible]

[illegible] [illegible]

καὶ ἤν τις κατὰ μὲν τοῦ ὕδατος ῥέοντος καθεὶς ἀρύσαιτο, γλυκὺ
τὸ ὕδωρ ἀνιμήσεσθαι· εἰ δὲ ἐς βάθος τις καθ-
θείη τὴν κάλπιν, ἁλμυρόν. καίτοι ὁ πᾶς Πόν-
τος πολὺ γλυκύτερος τοῦ ὕδατός ἐστιν ἢ τὸ
ἔξω θαλάσσης· καὶ τούτου τὸ αἴτιον, οἱ ποταμοὶ
εἰσίν, οὔτε τὸ πλῆθος οὔτε μέγεθος ξυμβλητοὶ ὄν-
τες. τεκμήριον δὲ τῆς γλυκύτητος, εἰ τεκμη-
ρίων δεῖ τοῖς αἰσθήσει φαινομένοις· ὅτι πάν-
τα τὰ θρέμματα οἱ προσοικοῦντες τῇ θαλάσ-
σῃ ἐπὶ τὴν θάλασσαν κατάγουσιν καὶ ἀπ᾽ αὐτῆς
ποτίζουσιν· τὰ δὲ πίνοντά τε ἡδέως ὁρᾶται,
καὶ λόγος κατέχει ὅτι καὶ ὠφέλιμον αὐτοῖς τοῦ-
το τὸ ποτόν ἐστιν τοῦ γλυκέος μᾶλλον. καὶ δὲ χρόα
τῷ Φάσιδι δὲ οἵα ἀπὸ μολύβδου ἢ κασσιτέρου
κεκραμένου τοῦ ὕδατος· καταστὰν δὲ καθαρώ-
τατον γίγνεται. οὐ τοίνυν νενόμισται ἐσκομίσαι
ὕδωρ ἐς τὸν Φᾶσιν τοὺς ἐσπλέοντας· ἀλλ᾽ ἐπει-
δὰν ἐσπλέωσιν ἤδη ἐς τὸν ῥοῦν, παραγγέλλε-
ται πᾶν ἐκχέαι τὸ ἔνδον ὕδωρ ἐν ταῖς ναυσίν·
εἰ δὲ μή, λόγος κατέχει ὅτι οἱ τούτου ἀμελήσαν-
τες οὐκ εὐπλοοῦσιν. τὸ δὲ ὕδωρ τοῦ Φάσιδος οὐ
σήπεται, ἀλλὰ μένει τε δέκα ἐφ᾽ ἓν καὶ ὑπὲρ δέκα-
τον ἔτος· πλήν γε δὴ ὅτι ἐς τὸ γλυκύτερον μετα-
βάλλει. ἐσπλεόντων δὲ ἐς τὸν Φᾶσιν ἐν ἀριστερᾷ
ἵδρυται ἡ Φασιανὴ θεός· εἴη δ᾽ ἂν ἀπό γε τοῦ
σχήματος τεκμαιρομένῳ ἡ Ῥέα· καὶ γὰρ κύμ-
βαλον μετὰ χεῖρας ἔχει· καὶ λέοντας ὑπὸ τῷ θρό-
νῳ· καὶ κάθηται ὥσπερ ἐν τῷ Μητρῴῳ Ἀθή-
νησιν ἡ τοῦ Φειδίου. ἐνταῦθα καὶ ἡ ἄγκυρα
δείκνυται ἡ τῆς Ἀργοῦς· καὶ ἡ μὲν σιδηρᾶ οὐκ ἔ-
δοξέ μοι εἶναι παλαιά· καίτοι τὸ μέγεθος οὐ κα-
τὰ τὰς νῦν ἀγκύρας ἐστίν· καὶ τὸ σχῆμα ἀλλά-
γέ πη ἐξηλλαγμένον· ἀλλὰ μὲν [illegible]

αἰτία δι᾽ ἣν ὁ Πόντος γλυκύτερος τῆς ἔξω θαλάττης:

ὁποῖος τὴν χρόαν ἐστί, περὶ αὐτὸ συμβαίνοντα·

σημ(είωσαι)

περὶ Φασιανῆς θεοῦ

περὶ τῆς ἀγκύρας τῆς Ἀργοῦς

– ἦναι τοῦ χρόνου· λιθίνης δέ τινος ἄλλης θραύ-
σματα ἐδείκνυτο παλαιά· ὡς ταῦτα μᾶλλον εἰ-
κάσαι ἐκεῖνα εἶναι τὰ λείψανα τῆς ἀγκύρας τῆς
ἀργοῦς. ἄλλο δὲ οὐδὲν ὑπόμνημα ἐνταῦ-
– θα τῶν μύθων τῶν ἀμφὶ τὸν ἰάσονα. τὸ μέντοι
φρούριον αὐτό, ἵνα τετρακόσιοι κάθηνται στρατιῶται ἐπίλεκτοι,
στρατιῶται ἐδόκει μοι τῇ τε φύσει τοῦ χωρίου
ὀχυρώτατον εἶναι καὶ ἐν ἐπιτηδειοτάτῳ κεῖσθαι
πρὸς ἀσφάλειαν τῶν ταύτῃ πλε-
όντων. καὶ τάφρος διπλῆ περιβέβληται τῷ
– τείχει, εὐρεῖα ἑκατέρα. πάλαι μὲν οὖν γήινον
τὸ τεῖχος ἦν, καὶ οἱ πύργοι ξύλινοι ἐφειστήκεσαν·
νῦν δὲ ἐκ πλίνθου ὀπτῆς πεποίηται καὶ αὐτὸ
καὶ οἱ πύργοι· καὶ τεθεμελίωται ἀσφαλῶς· καὶ
μηχαναὶ ἐφεστᾶσιν· καὶ ἑνὶ λόγῳ πάντα ἐξήρ-
τυται πρὸς τὸ μηδὲ πελάσαι ἄν τινα αὐτῷ τῶν
βαρβάρων, μήτι γε δὴ κίνδυνον καταστῆ-
σαι πολιορκίας τοῖς ἐμφρουροῦσιν.
– ἐπεὶ δὲ καὶ τὸν ὅρμον ἐχεγγύων ἀσφαλῆ εἶναι
ταῖς ναυσί, καὶ ὅσα ἔξω τοῦ φρουρίου κατῴκι-
σται ὑπό τε τῶν πεπαυμένων τῆς στρατείας καί
τινων καὶ ἄλλων ἐμπορικῶν ἀνθρώπων, ἔδο-
ξέ μοι ἀπὸ τῆς διπλῆς τάφρου, ἣ περιβέβλη-
ται τῷ τείχει, ἄλλην τάφρον ἐκβαλεῖν ἐς τὸν
ποταμόν· ἣ τόν τε ναύσταθμον περιέξει καὶ τὰς
– ἔξω τοῦ τείχους οἰκίας. ἀπὸ δὲ τοῦ φάσιδος
χαρίεντα ποταμὸν παρημείψαμεν ναυσίπορον·
– στάδιοι μεταξὺ ἀμφοῖν ἐνενήκοντα· καὶ ἀπὸ τοῦ
χαρίεντος ἐς χῶβον ποταμὸν ἴσον ἐπλεύσαμεν·
ἄλλους ἐνενήκοντα· ἐν ταῖς ἐκβολαῖς ὡρμίσθημεν· ὅτου
δὲ ἕνεκα καὶ ὅσα ἐνταῦθα ἐπράξαμεν, δηλώ-
– σει σοι τὰ ῥωμαϊκὰ γράμματα. ἀπὸ δὲ χώβου ἐς σιγ-
γάμην ποταμὸν παρημείψαμεν ναυσίπορον·

διέχει δὲ τοῦ Χάνου σταδίους ἀσδ´ [illegible] καὶ διακο-
σίους· μάλιστα διέχει δὲ τοὺς Ἰγγάμου Ταρσουρασ-
ποταμοὺς σάδιοι [illegible] καὶ διακοσίους [illegible]
φοιν· ὁ δὲ [illegible] ποταμὸς τοῦ Ταρσούρου [illegible]
[illegible] σταδίους καὶ διακοσίους [illegible] καὶ τοῦ
[illegible] ἀργυρ[illegible] τριάκοντα [illegible]
δὲ τὸν ἀργυρ[illegible] [illegible]
πρὸς [illegible] ἀπὸ Χάνου [illegible]
δίους [illegible] καὶ διακοσίους ἀπὸ ἀργυρ[illegible]
[illegible] καὶ τὴν μισθοφορὰν τοῖς στρατιώταις [illegible]
[illegible] καὶ τοὺς [illegible] καὶ
[illegible] καὶ τοὺς [illegible] ἅρματα [illegible]
[illegible] τοὺς [illegible] καὶ τοὺς [illegible] καὶ
[illegible] καὶ [illegible] καὶ τὴν [illegible]
φρον· σάδιοι ἀπὸ μὲν Χάνου [illegible]
τριάκοντα καὶ ἑξακόσιοι· ἀπὸ [illegible]
δὲ [illegible] ἑξήκοντα καὶ διακόσιοι
καὶ [illegible]· [illegible]
σιουριας διακοσίων [illegible] ἔθνη
δὲ παρ᾽ [illegible] τοῖς
μὲν [illegible] καὶ [illegible] Κόλχοι [illegible]
ροι· καὶ οὖς [illegible] τοὺς [illegible] καὶ
ἐχθροτάτους [illegible] τοῖς [illegible]
[illegible]
[illegible]
[illegible] τοῖς [illegible] ἐχθρόται
τοι· καὶ χωρία [illegible] καὶ ἔθνος [illegible]
[illegible] καὶ φόρου [illegible]
οις ὑπὸ δὲ τοῦ [illegible]
φοράν· [illegible]
[illegible]
[illegible] καὶ [illegible]
[illegible] καὶ [illegible]

ἡ Σεβαστηνῶν πόλις [illegible]

[illegible]

Κόλχοι

Ἀριππαῖοι [illegible]

μαχ[illegible]

Ζυδρεῖται — Ζυδρεῖται· Φαρασμάνου οὗτοι ὑπήκοοι. Ζυδρειτῶν

Λαζοί — δὲ Λαζοί· βασιλεὺς δὲ Λαζῶν Μαλάσσας, ὃς τὴν

Ἀψίλαι — βασιλείαν παρὰ σοῦ ἔχει. Λαζῶν δὲ Ἀψίλαι ἔχον-
ται· βασιλεὺς δὲ αὐτῶν Ἰουλιανός· οὗτος ἐκ

Ἀβασκοί — τοῦ πατρὸς τοῦ σοῦ τὴν βασιλείαν ἔχει. Ἀψίλαις
δὲ ὅμοροι Ἀβασκοί· καὶ Ἀβασκῶν βασιλεὺς Ῥησ-
μάγας· καὶ οὗτος παρὰ σοῦ τὴν βασιλείαν ἔχει.

Σανίγαι — Ἀβασκῶν δὲ ἐχόμενοι Σανίγαι, ἵνα περ καὶ
ἡ Σεβαστόπολις ᾤκισται· Σανιγῶν βασιλεὺς Σπα-
— δάγας, ἐκ σοῦ τὴν βασιλείαν ἔχει. Μέχρι μὲν δὴ
Ἀψάρου, ὡς πρὸς ἕω ἐπλέομεν, ἐν δεξιᾷ τοῦ Εὐ-

Σημείωσαι ὅτι ὁ Ἄψαρος πέρας ἐστὶ κατὰ τὸ πρὸς ἀνατολὴν μῆκος τοῦ πόντου καὶ τῆς θαλάσσης: — ξείνου. ὁ δὲ Ἄψαρος, ὥσπερ ἔφαμεν ἡμεῖς, εἶναι καὶ
τὰ μήκους τοῦ πόντου· ἐνθένδε γὰρ ἤδη πρὸς ἄρ-
κτον ὁ πλοῦς ἦν μέχρι ... ἐπὶ Χῶβον
ποταμόν· καὶ ὑπὲρ τὸν Χῶβον ἐπὶ τὸν Σιγά-
μην· ἀπὸ δὲ Σιγάμου ἐπικάμπτομεν ἐς τὴν λαι-
ὰν ὡς πρὸς τοῦ πόντου, ἔστε ἐπὶ τὸν Ἵππον ποτα-

Σημείωσαι ἀφ' ὧν ὁρᾶται τὸ ὄρος ὁ Καύκασος: — μόν· ἀπὸ δὲ τοῦ Ἵππου ὡς ἐπὶ Ἀστέλεφον καὶ Διο-
σκουριάδα, καὶ εἴδομεν τὸν Καύκασον τὸ ὄρος·
τοῦτο ὕψος μάλιστα κατὰ τὰς Ἄλπεις τὰς Κελτικάς·
καὶ τοῦ Καυκάσου κορυφήν τινα ἐδείκνυτο· Στρόβι-
λος τῇ κορυφῇ ὄνομα· ἵνα ὁ Προμηθεὺς
κρεμασθῆναι ὑπὸ τοῦ Ἡφαίστου κατὰ πρόσταξιν τοῦ Δι-

Ἀπὸ τοῦ Θρᾳκίου Βοσπόρου ἕως Τραπεζοῦντα περίπλους τοῦ πόντου. — ὸς μυθεύεται. τὰ δὲ ἀπὸ Βοσπόρου τοῦ Θρᾳκίου
— ἔστε ἐπὶ Τραπεζοῦντα πόλιν ὧδε ἔχει· τὸ ἱε-
ρὸν τοῦ Διὸς τοῦ Οὐρίου διέχει ἀπὸ Βυζαντίου στα-
δίους ρκ' καὶ ἑκατόν· καὶ ἄχρι γε τούτου τὸ στόμα
τὴν τὸ στενὸν κατὰ τοῦ πόντου καὶ οὐ μέσον καθότι τὰς
κακάς ... ταῦτα μὲν δὴ τὰ ὀπίσω

Ῥήβας ποταμός — λέγω. ἀπὸ δὲ τοῦ ἱεροῦ πλέοντι ἐν δεξιᾷ ὁ Ῥή-
βας ποταμός· σταδίους διέχει τοῦ ἱεροῦ τοῦ
— Διὸς ἐνενήκοντα· ἀπὸ δὲ Ῥήβα ἐπὶ Μέλαιναν ἄκραν
— δὲ καλουμένην ... πεντήκοντα καὶ ἑκατόν

μελαίνης ἄκρης ἐς ἀρτάνην ποταμὸν ρν· ἵνα καὶ
ὅρμος ναυσὶ μικραῖς· πρὸς τῷ ἱερῷ ἀφροδι-
της· περιπλέονται ἄλλοι καὶ ἑκατόν· ἀπὸ δὲ
ἀρτάνης ἐς ψίλλιν ποταμὸν, περιπλέονται καὶ ἑκα-
τόν· καὶ πλοίῳ μικρῷ ὁρμίζοιτο ἄν, πρὸς τῇ πέ-
τρᾳ τῇ ἀνεχούσῃ οὐ πόρρω ἀπὸ τοῦ ποταμοῦ
τῶν ἐκβολῶν· ἔνθεν δὲ ἐς κάλπης λιμένα
δέκα καὶ διακόσιοι στάδιοι· ὁ δὲ κάλπης λιμὴν
ὁποῖόν τι χωρίον ἐστὶ· καὶ ὁποῖος ὅρμος, καὶ ὅτι
πηγὴ ἐν αὐτῷ ψυχροῦ καὶ καθαροῦ ὕδατος, καὶ
ὅτι ὕλαι πρὸς τῇ θαλάσσῃ ξύλων ναυπηγη-
σίμων, καὶ αὗται εὔθηροι· ταῦτα ξενοφῶντι τῷ
πρεσβυτέρῳ ἐγγέγραπται· ἀπὸ κάλπης λιμέ-
νος ἐς ῥόην στάδιοι εἴκοσι· ὅρμος ναυσὶ μι-
κραῖς· ἀπὸ ῥόης ἐς ἀπολλωνίαν νῆσον μικράν
ὀλίγον ἀνέχουσαν τῆς ἠπείρου, ἄλλοι εἴκοσι·
λιμὴν ὑπὸ τῇ νήσῳ δὲ· καὶ ἔνθεν ἐς χηλὰς στάδι-
οι εἴκοσι· ἀπὸ χηλῶν ὀγδοήκοντα καὶ ἑκατὸν ἵνα
ὁ σαγγάριος ποταμὸς ἐσβάλλει ἐς τὸν πόντον·
ἔνθεν δὲ ἐς τοῦ ὑπίου τὰς ἐκβολὰς ἄλλοι ὀγδο-
ήκοντα καὶ ἑκατόν· ἐς δὲ λίλαιον ἐμπόριον
ἀπὸ τοῦ ὑπίου, στάδιοι ἑκατόν· καὶ ἀπὸ τοῦ λιλαί-
ου ἐς ἐλαῖον ἑξήκοντα· ἔνθεν δὲ ἐς κάλητα ἄλ-
λο ἐμπόριον εἴκοσι καὶ ἑκατόν· ἀπὸ κάλητος
ἐς λύκον ποταμὸν ὀγδοήκοντα· ἀπὸ δὲ λύκου
ἐς ἡράκλειαν πόλιν ἑλληνίδα δωρικὴν μεγα-
ρέων ἄποικον, στάδιοι εἴκοσι· ἐν ἡρακλείᾳ ὅρ-
μος ναυσίν· ἀπὸ δὲ ἡρακλείας ἐς τὸ μη-
τρῷον καλούμενον στάδιοι ὀγδοήκοντα· ἔνθεν
δὲ ἐς τὸ ποσίδειον, τεσσαράκοντα· καὶ ἔνθεν ἐς
τυνδαρίδας, πέντε καὶ τεσσαράκοντα· ἐντεῦ-
θεν δὲ καὶ δέκα· ἔνθεν ἐς τὸ νυμφαῖον· καὶ ἀ-
πὸ τοῦ νυμφαίου ἐς τὸν ὀξίναν ποταμὸν τρι-

ἡ νῦν δαφνουσία,

σαγγαρίου ποταμοῦ εἰσβολαί:

ἡ πόλις ἡ ἡρακλείας:

ἥκοντα· καὶ ἀπὸ Ὀξίνου ἐς Σανδαράκην, ἐνε-
νήκοντα· Σανδαράκη, ὅρμος ναυσὶ μικραῖς·
ἐνθένδε δὲ ἐς Κρηνίδας, ἑξήκοντα· καὶ ἀπὸ
Κρηνίδων ἐς Ψύλλα ἐμπόριον, τριάκοντα·

περὶ πόλεως Τίου

ἐνθένδε δὲ ἐς Τίον πόλιν Ἑλληνίδα, Ἰωνικὴν
ἐπὶ θαλάττῃ κειμένην, Μιλησίων(?) καὶ τῶν
τῆς ἀποικον, ἐνενήκοντα· ἀπὸ δὲ Τίου ἐς Βιλ-
λαῖον ποταμὸν, στάδιοι εἴκοσι· ἀπὸ δὲ Βιλλαίου

περὶ Παρθενίου ποταμοῦ

ἐπὶ τὸν Παρθένιον ποταμὸν, στάδιοι ἑκατόν·
μέχρι τοῦδε, Θρᾷκες οἱ Θυνοὶ νέμονται·

ἕως ὧδε Βιθυνία:

ὧν καὶ Ξενοφῶν ἐν τῇ συγγραφῇ μνήμην πε-
ποίηται· ὅτι μαχιμώτατοι τῶν κατὰ τὴν
Ἀσίαν· καὶ τὰ πολλὰ καὶ κακὰ εἰργάσαντο τοὺς Ἕλλη-
νας, ὅτε ἐν τῇ δὲ τῇ χώρᾳ ἐσώθησαν, ἐπειδὴ
ἀποχωρίσθησαν οἱ Ἀρκάδες· ἀπό τε τῆς Χει-

Παφλαγονία

ρισόφου καὶ τῆς Ξενοφῶντος μερίδος· τὰ

περὶ πόλεως Ἀμάστριδος

δὲ ἀπὸ τοῦδε, Παφλαγονία· ἀπὸ Παρ-
θενίου δὲ ἐς Ἄμαστριν πόλιν Ἑλληνίδα, στάδιοι ἐ-
νενήκοντα· ὅρμος ναυσίν· ἐνθένδε ἐς Ἐρυθίνους,

[illegible] Κίτωρα

ἑξήκοντα· καὶ ἀπὸ Ἐρυθίνων ἐς Κρῶμναν, ἄλλοι

περὶ πόλεως [illegible] ἐνταῦθα τὰ Βιθυνικὰ [illegible] ὅρια:

ἑξήκοντα· ἐνθένδε δὲ ἐς Κύτωρον, ἐνενήκον-
τα· ὅρμος ναυσὶν ἐν Κυτώροις· καὶ ἀπὸ Κυτώ-
ρων ἐς Αἰγιαλοὺς, ἑξήκοντα· ἀπὸ δὲ Θύμηνα,
ἐνενήκοντα· καὶ ἐς Κάραμβιν, εἴκοσι καὶ ἑκα-
τόν· ἐνθένδε δὲ ἐς Ζεφύριον, ἑξήκοντα· ἀπὸ
δὲ Ζεφυρίου ἐς Ἀβώνου τεῖχος πολίχνην,
[illegible] ἑξήκοντα καὶ ἑκατόν· ὅρμος ναυσὶν οὐ
[illegible] ἄλλα δὲ οἱ ἐν [illegible] ἀπὸ [illegible]
χρημάτων κατόχοι· ἀπὸ δὲ Ἀβώνου τείχους ἐς Αἰ-
γινήτην, ἄλλοι πεντήκοντα καὶ ἑκατόν· ἐνθέν-
δε ἐς Κίνωλιν ἐμπόριον, ἄλλοι ἑξήκοντα· καὶ ἐν-
[illegible] ἐς Στεφάνην [illegible] ἀπὸ δὲ Κι-
νώλιος [illegible] ἑξήκοντα(?) καὶ ἑκατόν·

ὅρμος ναυσὶν ἀσφαλής. ἀπὸ δὲ στεφάνης εἰς
ποταμοὺς, πεντήκοντα καὶ ἑκατόν· ἐντεῦθεν
δὲ εἰς λεπτὴν ἄκραν, ἑκατὸν καὶ εἴκοσι. ἀπὸ δὲ
λεπτῆς ἄκρας εἰς ἁρμένην, ἑξήκοντα· λιμὴν
αὐτόθι. καὶ ξενοφῶν, τῆς ἁρμένης ἐμνημό-
νευσεν. καὶ ἐντεῦθεν εἰς σινώπην, στάδιοι τεσσαρά-
κοντα. σινώπη πόλις μιλησίων ἄποικος. ἀπὸ δὲ
σινώπης εἰς κάρουσαν, πεντήκοντα καὶ ἑκα-
τόν. ὅρμος ναυσίν. ἐντεῦθεν δὲ εἰς ζάγωρα, ἄλλοι
πεντήκοντα καὶ ἑκατόν. ἐντεῦθεν δὲ εἰς τὸν
ἅλυν ποταμὸν, τριακόσιοι. οὗτος ὁ ποταμὸς πά-
λαι μὲν ὅρος ἦν, τῆς κροίσου βασιλείας καὶ τῆς περ-
σῶν. νῦν δὲ, ὑπὸ τῇ ῥωμαίων ἐπικρατείᾳ ῥεῖ·
οὐ κατὰ μεσημβρίαν ὡς λέγει ἡρόδοτος, ἀλλ'
ἀπὸ ἀνίσχοντος ἡλίου. καθότι δὲ ἐκβάλλει εἰς
τὸν πόντον· ὁρίζει τὰ σινωπέων καὶ ἀμισηνῶν
ἔργα. ἀπὸ δὲ ἅλυος ποταμοῦ εἰς ναύσταθμον,
στάδιοι ἐνενήκοντα· ἑξῆς ναυσὶν καὶ λίμνη κατ' αὐτήν.
ἐντεῦθεν δὲ εἰς κωνωπεῖον ἄλλην λίμνην· ἄλλοι πεν-
τήκοντα. ἀπὸ δὲ κωνωπείου εἰς εὐσήνην,
ἑκατὸν καὶ εἴκοσι. ἐντεῦθεν δὲ εἰς ἀμισὸν, ἑκατὸν
καὶ ἑξήκοντα. ἀμισὸς, πόλις ἑλληνὶς, ἀθηναί-
ων ἄποικος, ἐπὶ θαλάττῃ οἰκεῖται. ἀπὸ δὲ ἀ-
μισοῦ εἰς ἀγκῶνα λιμένα, ἵνα ὁ ἶρις εἰς
ἐκβάλλει εἰς τὸν πόντον, στάδιοι ἑξήκοντα καὶ ἑ-
κατόν. ἀπὸ δὲ τοῦ ἴριος τῶν ἐκβολῶν εἰς ἡρά-
κλειον, ἑξήκοντα καὶ τριακόσιοι. ὅρμος ναυσίν.
ἐντεῦθεν δὲ ἐπὶ τὸν θερμώδοντα ποταμὸν, τεσ-
σαράκοντα. οὗτος ὁ θερμώδων ἐστὶν, ἵνα
αἱ ἀμαζόνες οἰκῆσαι λέγονται. ἀπὸ δὲ θερμώ-
δοντος εἰς βῆριν ποταμὸν, στάδιοι ἐνενήκοντα.
ἐντεῦθεν δὲ εἰς θόαριν ποταμὸν, ἑξήκοντα. ἀπὸ
δὲ θοάριος εἰς οἰνόην, τριάκοντα. ἀπὸ οἰνόης

[Marginal notes:]
ἡ πόλις σινώπης:
περὶ τοῦ ἅλυος ποταμοῦ
ἡ πόλις ἀμισοῦ:
ὁ τοῦ θερμώδοντος ποταμοῦ:

ἐπὶ Φιγαμοῦντα ποταμὸν τεσσαράκοντα· ἐντεῦθεν
δὲ εἰς Φαδισάνην φρούριον, ἑξήκοντα καὶ
ἑκατόν· ἐντεῦθεν δὲ εἰς Πολεμώνιον πόλιν, στάδιοι
δέκα· ἀπὸ Πολεμωνίου εἰς τὸ Ἱερὸν Ἰασόνιον κα-
λουμένην ἄκραν, στάδιοι τριάκοντα καὶ ἑκατόν· ἐντεῦθεν
δὲ εἰς Κιλίκων νῆσον, πεντεκαίδεκα στάδιοι·
ἀπὸ δὲ Κιλίκων νήσου εἰς Βόωνα, πέντε καὶ ἑ-
κατὸν μίλια· ἐν Βόωνι ὅρμος ναυσίν· ἐντεῦθεν
δὲ εἰς Κοτύωρα, ἐν [illegible]· ταύτης τῆς πό-
λεως Ξενοφῶν μέμνηται [illegible] καὶ λέγει Σινωπέ-
ων ἀποίκους εἶναι· νῦν δὲ κώμη ἐστὶν καὶ οὐδὲ
αὕτη μεγάλη. ἀπὸ Κοτυώρων εἰς Μελάνθιον ποτα-
μόν, στάδιοι [illegible] ἑξήκοντα· ἐντεῦθεν δὲ εἰς
Φαρματηνὸν ἄλλον ποταμόν, [illegible]
καὶ ἑκατόν· καὶ ἐντεῦθεν εἰς Φαρνακίαν, εἴκοσι
καὶ ἑκατόν· αὕτη ἡ Φαρνακία, ἡ νῦν Κερα-
σοῦς [illegible] τῶν Σινωπέων καὶ αὐτὴ ἄποικος· ἐν-
τεῦθεν δὲ εἰς τὴν Ἀρητιάδα νῆσον, τριάκοντα·
καὶ ἐντεῦθεν εἰς Ζεφύριον, [illegible] καὶ ἑκατόν· ὅρ-
μος ναυσίν· ἀπὸ δὲ Ζεφυρίου εἰς Τρίπολιν, στά-
διοι [illegible]· ἐντεῦθεν δὲ εἰς Ἀργυρίαν, στάδιοι
εἴκοσι· ἐκ δὲ τῆς Ἀργυρίας εἰς Φιλοκαλείαν, [illegible]
[illegible]· ἐντεῦθεν δὲ εἰς Κόραλλα, ἑκατόν· ἀ-
πὸ δὲ Κοράλλων εἰς Ἱερὸν Ὄρος, [illegible] καὶ
ἑκατόν· ἀπὸ δὲ Ἱεροῦ Ὄρους εἰς Κορδύλην, τεσ-
σαράκοντα· ὅρμος ναυσίν· ἀπὸ δὲ Κορδύλης
εἰς Ἑρμώνασσαν, [illegible] καὶ τεσσαράκοντα καὶ
σάλος ὅρμος· ἀπὸ δὲ Ἑρμωνάσσης εἰς Τραπε-
ζοῦντα, στάδιοι ἑξήκοντα· ἐν ταύτῃ [illegible]
[illegible]
ὅρμος [illegible]· τὰ δὲ ἀπὸ Τραπεζοῦντος διαστή-
ματα μέχρι Διοσκουριάδος [illegible]
[illegible]· ἀθροίζονται δὲ

ἐπὶ πόλεως Πολεμωνίου

ἐπὶ πόλεως Κερασοῦντος

ἀπὸ Τραπεζοῦντος εἰς Διοσκουριάδα τὴν νῦν
Σεβαστόπολιν καλουμένην στάδιοι δισχίλιοι δια-
κόσιοι ἑξήκοντα· τὰ δὲ μέρη τὰ ἀπὸ Βυζαντί-
ου ἀρξάμενα ἐν δεξιᾷ ἕως τῆς Διοσκουριάδος·
ὥσπερ στρατόπεδον τέλειον τῆς Ῥωμαίων ἐπι-
κρατείας ἐν δεξιᾷ εἰσπλεόντων εἰς τὸν πόντον ἐ-
στί· τὰ δὲ ἐντεῦθεν [illegible] εἶναι τὸν βα-
σιλέα τοῦ Βοσπόρου τοῦ Κιμμερίου καλουμένου·
ἐστὶ μὲν γὰρ [illegible] καὶ τὸ μὲν μέχρι τοῦ Βο-
σπόρου [illegible]
ρι τοῦ Βοσπόρου ὑπάρχουσι καὶ τὸ μὲν [illegible]
μὴ [illegible] λέλεκται· ὁρμηθεὶς γοῦν ἐκ
Διοσκουριάδος πρῶτος ἀπὸ τῆς ὅρμος ἐστὶ Πιτυ-
οῦντι στάδιοι τριακόσιοι πεντήκοντα· ἐντεῦθεν δὲ
εἰς Νιτικὴν στάδιοι πεντήκοντα καὶ ἑκατόν·
ἐν ᾗ ᾤκει πάλαι ἔθνος Σκυθικὸν οὗ μνήμην
ποιεῖται ὁ λογοποιὸς Ἡρόδοτος· καὶ λέγει τούτους
εἶναι τοὺς Φθειροτρώγους λεγομένους· καὶ γὰρ εἰς τοῦ-
το τῆς δόξης αὐτοῖς ἡ ὑπὲρ αὐτῶν κατέχει· ἐκ δὲ
Νιτικῆς εἰς Ἄβασκον ποταμὸν στάδιοι ἐνενήκον-
τα· ὁ δὲ Βόργυς ἀπὸ Ἀβάσκου διέχει σταδίους ἑκα-
τὸν καὶ εἴκοσιν· καὶ ὁ Νῆσις τοῦ Βόργυος [illegible]
καὶ Ἡρακλεῖον ἄκραν διέχει σταδίους ἑξήκοντα· ἀ-
πὸ δὲ Ἡρακλείου εἰς Μασαιτικὴν στάδιοι ἐνενήκοντα·
ἐντεῦθεν δὲ εἰς Ἀχαιοῦντα στάδιοι ἑξήκοντα· ὅσπερ
ποταμὸς διορίζει Ζίχους καὶ Σαννίχας· Ζιχῶν
βασιλεὺς Στάχεμφαξ· καὶ οὗτος παρὰ σοῦ τὴν
βασιλείαν ἔσχεν· ἀπὸ Ἀχαιοῦντος εἰς Ἡρακλεί-
αν ἄκραν πεντήκοντα καὶ ἑκατὸν στάδιοι· ἐντεῦθεν
δὲ εἰς ἄκραν ἵνα ὥσπερ σκέπη ἐστὶν ἀνέμων [illegible] θρα-
σκίου καὶ Βορρᾶ, ὀγδοήκοντα καὶ ἑκατόν· ἐντεῦθεν
δὲ [illegible] Πάγρας [illegible] εἴκοσι
καὶ ἑκατὸν στάδιοι· ἐντεῦθεν δὲ εἰς Ἱερὸν λιμένα ἀπέχει

Διοσκουριὰς στρατόπεδον τέλειον τῆς Ῥωμαίων ἐπικρατείας:

τὰ ἀπὸ Διοσκουριάδος μέχρι τοῦ Κιμμερίου Βοσπόρου

Φθειροτρῶγες Σκυθῶν

Σικχοὶ Σάννοι

ξαμ· ὃ [illegible]ήκοντα καὶ ἑκατόν· καὶ ἐντεῦθεν ἐς Πά-
γρας λιμένα, πεντήκοντα καὶ τριακόσιοι· ἀ-
πὸ δὲ Πάγρας λιμένος ἐς Ἱερὸν λιμένα,
ὀγδοήκοντα καὶ ἑκατόν· ἐντεῦθεν δὲ ἐς Σιν-

περὶ Κιμμερίου Βοσπόρου ἤτοι Παντικαπαίου

δικὴν, τριακόσιοι· ἀπὸ δὲ Σινδικῆς ἐς Βό-
σπορον τὸν Κιμμέριον καλούμενον, καὶ πόλιν
τοῦ Βοσπόρου Παντικάπαιον, τεσσαράκοντα

περὶ Τανάιδος ποταμοῦ, ὅρος Ἀσίας καὶ Εὐρώπης

καὶ πεντακόσιοι· ἐντεῦθεν δὲ ἐπὶ Τάναϊν ποταμὸν,
ἑξήκοντα· ὃς λέγεται ὁρίζειν ἀπὸ τῆς Ἀσίας τὴν
Εὐρώπην· καὶ ὁρμᾶται μὲν ἀπὸ λίμνης τῆς Μαι-
ώτιδος· ἐκδιδοῖ δὲ ἐς θάλασσαν τὴν τοῦ Εὐξεί-
νου πόντου· καί τοι Αἰσχύλος ἐν Προμηθεῖ λυομένῳ
μὲν τὸν Φᾶσιν ὅρον τῆς Εὐρώπης καὶ τῆς Ἀσί-
ας ποιεῖ· λέγουσι γοῦν αὐτῷ οἱ Τιτᾶνες πρὸς
※ τὸν Προμηθέα· ἥκομεν τοὺς σοὺς ἄθλους
※ τούσδε Προμηθεῦ, δεσμοῦ τε πάθος τόδ' ἐπό-
※ ψόμενοι· εἶτα καταλέγουσιν ὅσην χώραν ἐπῆλ-
※ θον· τῇ μὲν δίδυμον χθονὸς Εὐρώπης μέγαν ἠ-

περὶ Μαιώτιδος λίμνης

※ δ' Ἀσίας τέρμονα Φᾶσιν· τῆς δὲ λίμνης τῆς
Μαιώτιδος περίπλους ἐν κύκλῳ λέγεται στα-
δίων ἀμφὶ τοὺς ἐννακισχιλίους· ἀπὸ δὲ Παν-
τικαπαίου ἐς κώμην Καζέκα ἐπὶ θαλάττῃ
ᾠκισμένην, στάδιοι εἴκοσι καὶ τετρακόσιοι· ἐν-
θένδε ἐς Θευδοσίαν πόλιν ἔρημον, στάδιοι ὀγδο-
ήκοντα καὶ διακόσιοι· καὶ αὕτη πάλαι ἦν Ἑλλάς·
πόλις Ἰωνική, Μιλησίων ἄποικος· καὶ μνήμη
ἐστὶν αὐτῆς ἐν πολλοῖς γράμμασιν· ἐντεῦθεν δὲ ἐς
Σκυθοταύρων λιμένα ἔρημον, στάδιοι διακόσιοι·
καὶ ἐντεῦθεν ἐς Λαμπάδα τῆς Ταυρικῆς, στάδιοι ἑξα-
κόσιοι· ἀπὸ δὲ Λαμπάδος ἐς Συμβόλου λιμένα
Ταυρικὸν καὶ τοῦτον, στάδιοι εἴκοσι καὶ πεντακό-

περὶ πόλεως Χερσώνης

σιοι· καὶ ἐντεῦθεν ἐς Χερρόνησον τῆς Ταυρικῆς, ὀ-
γδοήκοντα καὶ ἑκατόν· ἀπὸ δὲ Χερρονήσου ἐς

Κερκινῖτιν στάδιοι ἑξακόσιοι· καὶ ἀπὸ Κερκινί-
τιδος εἰς καλὸν λιμένα ὡς Σκυθικὸν καὶ τοῦτον, ἄλλοι
ἑπτακόσιοι· ἐκ δὲ καλοῦ λιμένος εἰς Ταμυράκην
τριακόσιοι· ἀπὸ δὲ τῆς Ταμυράκης λίμνης ἐκ
οὐ μεγάλη· καὶ ἔνθεν εἰς τὰς ἐκροὰς τῆς λί-
μνης ἄλλοι τριακόσιοι· ἐκ δὲ τῶν ἐκροῶν τῆς
λίμνης εἰς Ἠιόνας στάδιοι ὀγδοήκοντα καὶ τρι-
ακόσιοι· καὶ ἔνθεν ἐπὶ ποταμὸν Βορυσθένην πεν-
τήκοντα καὶ ἑκατόν· κατὰ δὲ τὸν Βορυσθένην
ἀναπλέοντι τοῦ ποταμοῦ ἐστὶ πόλις ὀνομαζομένη Ὀλβία·
...· ἀπὸ δὲ Βορυσθένους εἰς νῆσον μικρὰν
ἐρήμην καὶ ἀνώνυμον στάδιοι ἑξήκοντα· καὶ ἔν-
θεν εἰς Ὀδησσὸν ὀγδοήκοντα· ἐν Ὀδησσῷ ὅρμος
ναυσίν· ἀπὸ δὲ Ὀδησσοῦ ἔχεται Ἰστριανῶν λιμήν,
στάδιοι διακόσιοι πεντήκοντα· καὶ διακόσιοι· ἔν-
θεν δὲ εἰς Ἰσιακῶν λιμένα στάδιοι ... πεν-
τήκοντα· καὶ ἔνθεν εἰς τὸ ψιλὸν καλούμενον στό-
μα τοῦ Ἴστρου διακόσιοι καὶ χίλιοι· τὰ δὲ ἐν μέ-
σῳ ἔρημα καὶ ἀνώνυμα· κατὰ τοῦτο μάλιστα τὸ
στόμα ἐπ' εὐθὺ ... ἐν τῷ πελάγει ...
τοῦ πελάγους νῆσος πρόκειται, ἣν τινὲς μὲν
Ἀχιλλέως νῆσον, οἱ δὲ δρόμον Ἀχιλλέως, οἱ
δὲ Λευκὴν ἐπὶ τῇ χρόᾳ ὀνομάζουσιν· ταύ-
την λέγεται Θέτις ἀνεῖναι τῷ παιδί, καὶ ταύτην
οἰκεῖν τὸν Ἀχιλλέα· καὶ νεώς ἐστιν ἐν αὐτῇ τοῦ
Ἀχιλλέως καὶ τὸ ξόανον ἐργασίας ...
ἄνθρωπος δὲ οὐκ ἐνοικεῖ τὴν νῆσον· νέμονται δὲ
αἶγες οὐ πολλαὶ ἐν αὐτῇ· καὶ ταύτας ἀνατιθέ-
ναι λέγουσι τῷ Ἀχιλλεῖ ὅσοι προσίσχουσι· καὶ
ἄλλα πολλὰ ἀναθήματα ἀνάκειται ἐν τῷ νεῷ, φι-
άλαι καὶ δακτύλιοι καὶ λίθοι τῶν πολυτελεστέ-
ρων· ταῦτα πάντα χαριστήρια τῷ Ἀχιλλεῖ
... καὶ ἐπιγράμματα ... τὰ μὲν Ῥωμαϊκοῖς

ὁ Βορυσθένης ὁ καὶ Δάναπρις ποταμός

ὁ ποταμὸς Ἴστρος ὁ καὶ Δανούβιος

ἡ τοῦ Ἀχιλλέως νῆσος καὶ ἡ περὶ αὐτὴν ἱστορουμένη

τὰ δὲ ἑλληνικῶς, πεποιημένα ἐν ἄλλοις καὶ
ἐν ἄλλοις μέτροις, ἐπαινοῦντα τοῦ ἀχιλλέως· ἔστιν δὲ
ἃ καὶ τοῦ πατρόκλου· καὶ γὰρ καὶ τὸν πάτροκλον τι-
μῶσιν σὺν τῷ ἀχιλλεῖ, ὅσοι τῷ ἀχιλλεῖ χαρίζεσθαι
ἐθέλουσιν· ὄρνιθες δὲ πολλοὶ αὐλίζονται ἐν τῇ
νήσῳ, λάροι καὶ αἴθυιαι καὶ κορῶναι αἱ θαλάσ-
σιοι· τὸ πλῆθος οὐ σταθμητοί· οὗτοι οἱ ὄρνιθες
θεραπεύουσιν τοῦ ἀχιλλέως τὸν νεών· ἕωθεν
ὁσημέραι· καταπέτονται ἐς τὴν θάλασσαν· ἔπει-
τα ἀπὸ τῆς θαλάσσης βεβρεγμένοι τὰ πτερὰ
σπουδῇ αὖ ἐσπέτονται ἐς τὸν νεών· καὶ ῥαίνου-
σι τὸν νεὼν ἕως ἂν δὲ καλῶς ἔχῃ· οἱ δὲ ἐπὶ
καλλύνουσιν αὖ τὸ ἔδαφος τοῖς πτεροῖς· οἱ δὲ
καὶ τάδε ἱστοροῦσιν· τῶν προσεσχηκότων τῇ
νήσῳ ἐξ ἐπίτηδες τοὺς μὲν [illegible] πλέον-
τας [illegible] ἱερεῖα [illegible] κομίζειν· καὶ τοὺ-
τους [illegible] τὰ δὲ ἀφιέναι ἐν τῇ νήσῳ τῷ ἀχιλ-
λεῖ· τοὺς δέ τινας [illegible] ἐξαναγκασθέν-
τας προσσχεῖν· καὶ τούτους αἰτεῖν παρ' αὐτοῦ τοῦ θεοῦ
ἱερεῖον [illegible] θύειν· χρωμένους [illegible] ἱερείων [illegible]
[illegible] ὅπου [illegible] αὐτοῖς τὴν γνώ-
μην [illegible] καὶ αὐ-
[illegible] τὰ δὲ
ἀπαγορεύειν [illegible] κομίζουσιν
τῶν [illegible] τὰ δὲ [illegible]
[illegible] τοσ δὲ
[illegible] τὸ δὲ
[illegible] δὲ
[illegible] σθαι
[illegible] ἔρφων·
[illegible]
[illegible]
[illegible] καὶ [illegible]

ζειν ὅπου προσχεῖν τῆς νήσου ἄμεινον, καὶ ὅπου
ὁρμίσασθαι. οἱ δὲ καὶ ὕπαρ λέγουσιν φανῆναί σφι-
σιν ἐπὶ τοῦ ἱστοῦ ἢ ἐπ' ἄκρου τοῦ κέρως τὸν ἀχιλλέα,
καθάπερ τοὺς διοσκόρους. τοσοῦτον δὲ μόνον τῶν
διοσκούρων μειονεκτεῖν τὸν ἀχιλλέα, ὅσον οἱ μὲν
διόσκουροι, τοῖς πανταχοῦ πλοϊζομένοις ἐναρ-
γεῖς φαίνονται, καὶ φανέντες σωτῆρες γίνον-
ται. ὁ δὲ, τοῖς πελάζουσιν ἤδη τῇ νήσῳ. οἱ
δὲ, καὶ τὸν πάτροκλόν σφισιν ἐπιφανῆναι λέγ-
ουσιν. ταῦτα μὲν ὑπὲρ τῆς νήσου τῆς τοῦ
ἀχιλλέως, ἀκοὴν ἀνέγραψα τῶν ἢ αὐτῶν προσχόν-
των, ἢ ἄλλων πεπυσμένων· καί μοι δοκεῖ οὐκ ἄ-
πιστα εἶναι. ἀχιλλέα γὰρ ἐγὼ πείθομαι εἴπερ τι-
να καὶ ἄλλον ἥρωα γενναῖον γενέσθαι, τεκμαι-
ρόμενος, καὶ τῷ κάλλει, καὶ τῇ ῥώμῃ τῆς ψυχῆς,
καὶ τῷ νέον μεταλλάξαι ἐξ ἀνθρώπων, καὶ τῇ
ὁμήρου ἐπ' αὐτῷ ποιήσει, καὶ τῷ ἐρωτικὸν γενέ-
σθαι καὶ φιλέταιρον, ὡς καὶ ἐπαποθανεῖν ἐθελῆ-
σθαι τοῖς παιδικοῖς. ἀπὸ δὲ τοῦ ψιλοῦ καλου-
μένου στόματος τοῦ ἴστρου, ἐς τὸ δεύτερον στόμα
στάδιοι ἑξήκοντα. ἐνθένδε δὲ ἐπὶ τὸ καλὸν κα-
λούμενον στόμα, στάδιοι τεσσαράκοντα. καὶ ἀπὸ
τοῦ καλοῦ ἐπὶ τὸ νάρακον ὀνομαζόμενον
στόμα τέταρτον τοῦ ἴστρου, στάδιοι ἑξήκοντα. ἔν-
θεν δὲ ἐπὶ τὸ πέμπτον ρκ΄ στάδιοι καὶ εἴκοσι. καὶ
ἐνθένδε ἐς ἴστριαν πόλιν, πεντακόσιοι. ἐν-
θένδε ἐς τόμεα [illegible] πόλιν στάδιοι τριακόσιοι. ἀπὸ
τομέων δὲ ἐς κάλλατιν [illegible] στάδιοι τριακόσιοι
καὶ [illegible] ὅρμος [illegible] καὶ ἡ χώρα [illegible] καρῶν λιμένα
μαι [illegible] καὶ [illegible] καρία καλεῖται [illegible]
τοὺς [illegible] ἀπὸ δὲ καρῶν
[illegible] καὶ εἴκοσι
ἔνθεν δὲ [illegible] δὲ [illegible]

ὅτι ὁ ἴστρος ὁ δανού-
βις πέντε στόμα-
σιν εἰς τὸν πόντον
ἔξεισιν

κεῖται· ἀπὸ δὲ [illegible]ζου εἰς Διονυσόπολιν στάδιοι
ὀγδοήκοντα· ἐντεῦθεν δὲ εἰς Ὀδησσὸν διακόσιοι·

περὶ αἵμου τοῦ ὄρους
ὅρμος ναυσίν· ἐκ δὲ Ὀδησσοῦ εἰς τοῦ Αἵμου τὰς
ὑπωρείας αἳ δὴ εἰς τὸν Πόντον καθήκουσιν·
στάδιοι τριακόσιοι ἑξήκοντα· καὶ [illegible] ὅρμος

περὶ πόλεως Μεσημβρίας
ναυσίν· ἐκ δὲ τοῦ Αἵμου εἰς Μεσημβρίαν [illegible]
[illegible] κεῖνται· ὅρμος ναυσίν· καὶ ἐκ Μεσημ-
βρίας εἰς Ἀγχίαλον [illegible] στάδιοι [illegible]

περὶ πόλεως Ἀπολλωνίας τῆς νῦν Σωζοπόλεως
ται· καὶ ἐξ Ἀγχιάλου εἰς Ἀπολλωνίαν ὀγδοή-
κοντα καὶ ἑκατόν· [illegible]
[illegible]
[illegible] ἐκ δὲ Ἀπολλωνί-
ας εἰς Χερρόνησον στάδιοι ἑξήκοντα· ὅρμος
ναυσίν· καὶ ἐκ Χερρονήσου εἰς Αὐλαίου τεῖχος
[illegible] καὶ διακόσιοι· ἐντεῦθεν δὲ εἰς Θυ-

περὶ αἰγιαλῶν Σαλμυδησσοῦ [illegible]
νιάδα [illegible] καὶ ἑκατόν· ἀπὸ δὲ
Θυνιάδος εἰς Σαλμυδησσὸν στάδιοι διακόσιοι·
τούτου τοῦ χωρίου [illegible]
[illegible] καὶ μέχρι τούτου [illegible]
[illegible]
[illegible]
× [illegible]
χωρίου [illegible]
[illegible] Θρᾷ-
× κες οἱ πρόσχωροι [illegible] ναυαγίων [illegible]
σφίσι [illegible] μάχονται· ἀπὸ δὲ Σαλμυδησσοῦ
εἰς Φρυγίαν στάδιοι [illegible] τριακόσιοι·

περὶ Κυανέων νήσων ἤτοι Πλαγκτῶν
ἐντεῦθεν δὲ [illegible] καὶ τριακόσιοι· αὗται
δὲ [illegible]
[illegible]
[illegible]

περὶ τοῦ καλουμένου ἱεροῦ ὅ ἐστι Διὸς Οὐρίου
[illegible] τοῦ
[illegible] στάδιοι [illegible]

— σαράκοντα· ἐντεῦθεν δὲ ἐς [illegible] μὲν [illegible] σταδίους [illegible] τῆς
μαργομένης [illegible] φασὶ [illegible] τεσσαράκοντα·
— ἀπὸ δὲ [illegible] σταδίους [illegible] ἑξακόσιοι [illegible]
— [illegible] δὲ μὲν καὶ τὸ ἀπὸ τοῦ Βοσπόρου τοῦ Κιμμερί-
ου [illegible] Βόσπορον τὸν Θρᾴκιον [illegible] ἑξακόσιοι:

Ἀρριανοῦ ἐπιστολὴ πρὸς Τραϊανὸν, ἐν ᾗ καὶ περίπλους Εὐξείνου Πόντου:

Διώρθωται οὐ πρὸς σπουδαῖον ἀντίγραφον· *sincere.*

Διώρθωται δ' πρὸς σπουδαῖον ἀντίγραφον

+ ἀρριανοῦ περίπλους τῆς ἐρυθρᾶς θαλάσσης: +

τῶν ἀποδεδειγμένων ὅρμων τῆς ἐρυθρᾶς θαλάσσης·
καὶ τῶν περὶ αὐτὴν ἐμπορίων· πρῶτός ἐστι λιμὴν
(μυὸς ὅρμος) — τῆς αἰγύπτου μυὸς ὅρμος· μετὰ δὲ αὐτὸν εἰσπλε-
όντων ἀπὸ χιλίων ὀκτακοσίων σταδίων ἐν δεξιᾷ
(βερ—νίκη) ἡ βερνίκη· ἀμφοτέρων οἱ λιμένες ἐν τῷ μυχῷ κεῖνται
— τῆς αἰγύπτου· κόλποι δὲ τῆς ἐρυθρᾶς θαλάσσης
κεῖνται· τούτων· ἐκ μὲν τῶν δεξιῶν ἀπὸ βερνίκης
— συναφὴς ἡ βαρβαρικὴ χώρα ἐστίν· τὰ μὲν παρὰ
(ἰχθυοφάγοι) θάλασσαν ἰχθυοφάγων· μάνδραις οἰκοδομημέ-
ναις ἐν στενώμασιν· καὶ σποράδην δὲ οἰκοῦνται·
— τὰ δὲ μεσόγεια, βαρβάρων καὶ τῶν μετ' αὐτοὺς ἀγριο-
(ἀγριοφάγοι καὶ μοσχοφάγοι) φάγων καὶ μοσχοφάγων, κατὰ τυραννίδα νεμομέ-
— νων· οἷς ἐπίκειται κατὰ νῶτον μεσόγειος ἀπὸ τῶν
(πτολεμαῒς ἡ τῶν θηρῶν) — πρὸς δύσιν μερῶν· [illegible]λης μικρόν· μετὰ
δὲ τοὺς μοσχοφάγους ἐπὶ θαλάσσης μικρὸν ἐμ-
πόριόν ἐστιν· ἀπέχον τοῦ πέρας τῆς ἀνακομιδῆς
σταδίους περὶ τετρακισχιλίους· πτολεμαῒς ἡ τῶν θη-
ρῶν λεγομένη· ἀφ' ἧς οἱ ἐπὶ πτολεμαίων τῶν κυνηγοὶ θη-
— ραθέντας ἐνεβίβασαν· ἔχει δὲ τὸ ἐμπόριον χελώνην
ἀληθινὴν· καὶ χερσαίαν ὀλίγην· καὶ λευκὴν μικροτέ-
— ραν τοῖς ὀστράκοις· εὑρίσκεται δὲ ἐν αὐτῇ ποτὲ μὲν
— ἐλέφας ὀλίγος ὅμοιος τῷ ἀδουλιτικῷ· ἔστι δὲ ὁ τόπος
ἀλίμενος· καὶ σκάφαις μόνον τὴν ἀποδρομὴν ἔχων·
(ἄδουλι) — μετὰ δὲ τὴν πτολεμαΐδα τῶν θηρῶν ἀπὸ σταδίων
ὡς τρισχιλίων, ἐμπόριόν ἐστι νόμιμον ἄδουλι κεί-
— μενον ἐν κόλπῳ βαθεῖ κατὰ [illegible] τὸν μυχὸν· οὗ
πρὸς κεῖται νῆσος ὀρεινὴ λεγομένη· τοῦ μὲν ἀπὸ
τοῦ κόλπου σταδίους ὡς [illegible] ἔχουσα
διακοσίους· ἐξ ἀμφοτέρων τῶν μερῶν παρακει-
μένην ἔχουσα τὴν ἤπειρον· ἐν ᾗ νῦν ὁρμεῖ τὰ κα-
ταπλέοντα πλοῖα διὰ τὰς ἀπὸ τῆς γῆς καταδρο-
— μάς [illegible] κατ' αὐτὸν τὸν [illegible]
(διοδώρου νῆσος) [illegible] νῆσος:

παρ' αὐτὴν τὴν ἤπειρον ἐχούσης πεζῇ τὴν δια-
βασιν· δι' ἧς οἱ κατοικοῦντες βάρβαροι κατέτρε-
χον τὴν νῆσον· καὶ κατ' αὐτὴν τὴν ἐν τῇ ὀρεινῇ
ἤπειρον ἀπὸ σταδίων κ' τῆς θαλάσσης ἐστὶν ἡ
Ἀδουλὶ κώμη σύμμετρος· ἀφ' ἧς εἰς μὲν Κολόην
μεσόγειον πόλιν καὶ πρῶτον ἐμπόριον τοῦ ἐλέ-
φαντος· ὁδός ἐστιν ἡμερῶν τριῶν· ἀπὸ δὲ ταύ-
της εἰς αὐτὴν τὴν μητρόπολιν τὸν Ἀξωμίτην
λεγόμενον ἄλλων ἡμερῶν πέντε· εἰς ὃν ὁ πᾶς ἐ-
λέφας ἀπὸ τοῦ πέραν τοῦ Νείλου φέρεται διὰ τοῦ
λεγομένου Κυηνείου· ἐκεῖθεν δὲ εἰς Ἀδουλί· τὸ
μὲν οὖν ὅλον πλῆθος τῶν φονευομένων ἐλεφάν-
των καὶ ῥινοκερώτων περὶ τοὺς ἄνω νέμεται τό-
πους· σπανίως δέ ποτε καὶ ἐν τῷ παρὰ θάλασσαν·
περὶ αὐτὴν τὴν Ἀδουλὶ θηρεύονται· πρόκεινται
δὲ τοῦ ἐμπορίου καὶ κατὰ πέλαγος· ἄλλαι πλείονες
μικραὶ ἐκ δεξιῶν ἀμμώδεις Ἀλαλαίου λεγό-
μεναι χελώνην ἔχουσαι τὴν εἰς τὸ ἐμπόριον φε-
ρομένην· ἀπὸ τῶν ἰχθυοφάγων· καὶ ἀπὸ σταδίων
ὡς ὀκτακοσίων ἄλλος ἐστὶν κόλπος βαθύτατος· οὗ
κατὰ τὴν εἰσβολὴν ἐν δεξιοῖς ἄμμος ἐστὶν πολλὴ
κεχυμένη· καθ' ἧς ἐν βάθει κεχωσμένος εὑρί-
σκεται ὁ ὀψιανὸς λίθος· ἐν αὐτῷ μόνῳ τῷ τόπῳ
γεννώμενος· βασιλεύει δὲ τῶν τόπων τούτων ἀπὸ
τῶν Μοσχοφάγων μέχρι τῆς ἄλλης Βαρβαρίας
Ζωσκάλης· ἀκριβὴς μὲν τοῦ βίου καὶ τοῦ πλεί-
ονος ἐξεχόμενος· γενναῖος δὲ περὶ τὰ λοιπὰ·
καὶ γραμμάτων Ἑλληνικῶν ἔμπειρος· προχω-
ρεῖ δὲ εἰς τοὺς τόπους τούτους ἱμάτια βαρβα-
ρικὰ ἄγναφα τὰ ἐν Αἰγύπτῳ γινόμενα· Ἀρσινο-
ητικὰ καὶ στολαί· καὶ ἀβόλλαι νόθοι χρωμάτινοι· καὶ
λέντια καὶ δίκροσσα· καὶ λιθίας ὑαλῆς πλείο-
να γένη καὶ ἄλλης μορρίνης τῆς γινομένης ἐν

Ἀδουλὶ κώμη

κολόη πόλις

Ἀξωμίτης μητρόπολις

Ἀλαλαίου νῆσοι

ὀψιανὸς λίθος

ζή(τει) ὀρόχαλκος

ιοσπόλει. καὶ ὀρόχαλκος, ᾧ χρῶνται πρὸς κό-
σμον. καὶ εἰς συγκοπὴν ἀντὶ νομίσματος. καὶ
μελίεφθα χαλκᾶ εἰς ἕψησιν. καὶ εἰς συγκο-
πὴν ψελίων καὶ περισκελίδων τισὶ τῶν γυναι-
κῶν. καὶ σίδηρος ὁ δαπανώμενος εἰς λόγχας
πρὸς τοὺς ἐλέφαντας καὶ τὰ ἄλλα θηρία καὶ
τοὺς πολέμους. ὁμοίως δὲ καὶ πελύκια προ-
χωρεῖ. καὶ σκέπαρνα. καὶ μάχαιραι. καὶ ποτή-
ρια χαλκᾶ στρογγύλα μεγάλα. καὶ δηνάριον ὀλί-
γον πρὸς τοὺς ἐπιδημοῦντας. καὶ οἶνος λαδι-
κηνὸς καὶ ἰταλικὸς οὐ πολύς. καὶ ἔλαιον οὐ πο-
λύ. τῷ δὲ βασιλεῖ ἀργυρώματα καὶ χρυσώμα-
τα τοπικῷ ῥυθμῷ κατεσκευασμένα. καὶ ἱμα-
τίων ἀβόλλαι. καὶ γαυνάκαι ἁπλοῖ. οὐ πολλοῦ δὲ
ταῦτα. ὁμοίως δὲ καὶ ἀπὸ τῶν ἔσω τόπων

σίδηρος ἰνδικ(ός)

τῆς ἀριακῆς σίδηρος ἰνδικός. καὶ στόμωμα.
καὶ ὀθόνιον ἰνδικὸν τὸ πλατύτερον. ἡ λεγομέ-
νη μοναχή. καὶ σαγματογῆναι. καὶ περιζώμα-
τα. καὶ γαυνάκαι. καὶ μολόχινα. καὶ σινδόνες
ὀλίγαι. καὶ λάκκος χρωμάτινος. φέρεται δὲ
ἀπὸ τῶν τόπων ἐλέφας. καὶ χελώνη. καὶ ῥινό-
κερως. τὰ δὲ πλεῖστα ἀπ' αἰγύπτου φέρε-
ται εἰς τὸ ἐμπόριον ἀπὸ μηνὸς ἰανουαρίου
μέχρι τοῦ σεπτεμβρίου. ὅ ἐστιν ἀπὸ τυβὶ ἕως θωθ.
εὐκαίρως δὲ ἀπ' αἰγύπτου ἀνάγονται περὶ τὸν
σεπτέμβριον μῆνα. ἀπὸ δὲ τούτου ἤδη ὁ ἀράβι-
ος κόλπος εἰς ἀνατολὴν καὶ κατὰ τὸν αὐαλίτην
στενοῦται. μετὰ δὲ σταδίους ὡς τετρακισχι-

τὰ πέρα ἐμπόρια

λίους. καὶ τὴν αὐτὴν ἤπειρον εἰς ἀνατολὴν πλεό-
ντων εἰσὶν ἄλλα ἐμπόρια βαρβαρικά. τὰ πέρα
λεγόμενα. κείμενα μὲν κατὰ τὸ ἑξῆς. ἀγκυρο-
βόλια δὲ καὶ σάλους ἔχοντα τοὺς ὅρμους καὶ
τοὺς καιροὺς ἐπιτηδείους. πρῶτον μὲν λεγόμενον

μένος αὐαλίτης· καὶ ὅθεν καὶ στενώτατος ἐστὶν ἀπὸ
τῆς ἀραβικῆς ἐς τὸ πέραν διαπερῶσι· καὶ ἐπὶ
τοῦτον τὸν τόπον μικρὸν ἐμπόριον ἐστὶν ὁ αὐαλί-
της· σχεδίαις καὶ σκάφαις ἐς τὸ αὐτὸ προσερ-
χομένων· προχωρεῖ δὲ ἐς αὐτὴν ὑαλῆ λιθία σύμ-
μικτος· καὶ διοσπολιτικὴ ὄμφακος· καὶ ἱμά-
τια βαρβαρικὰ σύμμικτα γεγναμμένα· καὶ
σῖτος καὶ οἶνος· καὶ κασσίτερος ὀλίγος· φέ-
ρεται δὲ ἐξ αὐτῆς ποτὲ καὶ τῶν βαρβάρων ἐπὶ σχε-
δίαις διαφερόντων ἐς τὴν ἀντικρὺς ὄκηλιν καὶ — ΚΗΛΙΣ ἘΜΠΟΡΙΑ
μούζα, ἀρώματα· καὶ ἐλέφας ὀλίγος· καὶ χε-
λώνη· καὶ σμύρνα ἐλαχίστη, διαφέρουσα δὲ — ΣΜΥΡΝΑ
τῆς ἄλλης· ἀτακτότεροι δὲ οἱ κατοικοῦντες
τὸν τόπον βάρβαροι· μετὰ δὲ τὸν αὐαλίτην ἕ- — ΜΑΛΑΩ ἘΜΠΟΡΙΟΝ
τερον ἐμπόριον ἐστὶ κρεῖττον τούτου διαφέρον, λεγό-
μένη μαλαώ· πλοῦν ἀπέχουσα σταδίων ὡς
ὀκτακοσίων· ὁ δὲ ὅρμος ἐστὶ σάλος· σκεπόμε-
νος ἀκρωτηρίῳ τῷ ἐξ ἀνατολῆς ἀνατείνοντι·
οἱ δὲ κατοικοῦντες εἰρηνικώτεροι· προχωρεῖ
δὲ ἐς τοὺς τόπους τοὺς προειρημένους· καὶ
ἱματισμὸς χιτώνων· σάγοι ἀρσινοητικοὶ γε-
γναμμένοι καὶ βεβαμμένοι· καὶ ποτήρια· καὶ
μελίεφθον ὀλίγον· καὶ σίδηρος· καὶ δηνάριον
οὐ πολύ· καὶ χρυσοῦν τε καὶ ἀργυροῦν· ἐκφέ-
ρεται δὲ ἀπὸ τῶν τόπων τούτων, καὶ σμύρνα·
καὶ λίβανος ὁ περατικὸς ὀλίγος· καὶ κασσία — ΛΙΒΑΝΟΣ· ΚΑΣΣΙΑ· ΜΑΚΕΙΡ
σκληροτέρα· καὶ δουάκα· καὶ κάγκαμον· καὶ
μάκειρ, τὰ ἐς ἀραβίαν προχωροῦντα· καὶ σώμα-
τα σπανίως· ἀπὸ δὲ μαλαὼ δύο δρόμοις, ἐστὶν — ΜΟΥΝΔΟΥ ἘΜΠΟΡΙΟΝ
ἐμπόριον τὸ μούνδου· ἐν ᾧ καὶ ἀσφαλέστερον
ὁρμεῖ τὰ πλοῖα, ἐς τὴν προκειμένην ἔγγιστα τῆς
γῆς νῆσον· προχωρεῖ δὲ ἐς αὐτὴν τὰ προει-
ρημένα· καὶ ἐκφέρεται ὁμοίως [illegible]

προειρημένα φορτία· θυμίαμα τὸ λεγόμενον
μοκρότου· οἱ δὲ κατοικοῦντες ἔμποροι σκλη-

μόσυλλον

ρότεροι· ἀπὸ δὲ τῆς μούνδου, πλεόντων μετὰ
τὴν ἀνατολὴν ὁμοίως μετὰ δύο δρόμους ἢ τρεῖς,
πλησίον κεῖται τὸ μόσυλλον, ἐν αἰγιαλῷ δυσόρμῳ·
προχωρεῖ δὲ εἰς αὐτὴν, τὰ προειρημένα γένη·
καὶ σκεύη ἀργυρᾶ· σιδηρᾶ δὲ ἐλάσσω· καὶ λιθία·
ἐξάγεται δὲ ἀπὸ τῶν τόπων· κασίας χρῆμα πλεῖ-
στον· διὸ καὶ μειζόνων πλοίων χρήζει τὸ ἐμπόριον·
καὶ ἄλλαι εὐωδίαι· καὶ ἀρώματα· καὶ χελωνάρια
ὀλίγα· καὶ μοκρότου, ἧττον τοῦ μουνδιτικοῦ·
καὶ λίβανος ὁ περατικός· ἐλέφας δὲ καὶ σμύρ-
να σπανίως· ἀπὸ δὲ τοῦ μοσύλλου παραπλεύσαν-

νεῖλο πτολεμαίου· ταπατηγὴ· δαφνῶν μικρ(όν)· ἀκρωτήρι(ον) ἐλέφας:

τι μετὰ δύο δρόμους, τὸ λεγόμενον νεῖλο πτολε-
μαίου· καὶ ταπατηγὴ· καὶ δαφνῶνα μικρόν·
καὶ ἀκρωτήριον ἐλέφας· ἀπὸ ὅπου μὴν, εἰς μόνον
προχωρεῖ· ἔτι δ' ἐς μικρὰ καὶ χώρα ἀπὸ ποταμοῦ σ' ἔχει

ποταμὸς ἐλέφας· δαφνῶν μέγας λεγόμενος ἀκάνναι

τὸν λεγόμενον ἐλέφαντα· καὶ δαφνῶνα μέ-
γαν, λεγόμενον ἀκάνναι· ἐν ᾧ μόνον γεννᾶται λίβα-
νος ὁ περατικός, πλεῖστος καὶ διάφορος γίνε-
ται· καὶ μετὰ ταῦτα, τῆς γῆς ὑποχωρούσης ἤδη εἰς

ἀρωμάτων ἐμπ(όριον)

τὸν νότον καὶ λοιπὸν τὸ τῶν ἀρωμάτων ἐμπόριον· καὶ
ἀκρωτήριον τὸ τελευταῖον τῆς βαρβαρικῆς ἠπεί-
ρου, πρὸς ἀνατολὴν ἀπότομον· ὁ δὲ ὅρμος ἐπι-
σφαλὴς κατὰ καιροὺς ἐστι κλύδωνος, διὰ τὸ προσε-
χῆ τὸν τόπον εἶναι τῷ βορέᾳ· σημεῖον δὲ τοῦ μέλ-

ση(μείωσαι)

λοντος χειμῶνος τοπικοῦ, τὸ τὸν βυθὸν θολερώ-
τερον γίνεσθαι καὶ τὴν χρόαν ἀλλάσσειν· τούτου
δὲ γινομένου, πάντες ἀποφεύγουσιν εἰς μέγα
ἀκρωτήριον τόπον καὶ σκέπην, τὸ λεγόμε-

ἀκρωτ(ήριον) τάβαι

νον τάβαι· προχωρεῖ δὲ εἰς τὸ ἐμπόριον, ὁμοίως
τὰ προειρημένα· γίνεται δὲ τῶν ἐν αὐτῷ κασία·
καὶ γίζειρ· καὶ ἀσύφη· καὶ ἄρωμα· καὶ μάγλα·

γίζερ

καὶ μοτὼ καὶ μάκειρος· ἀπὸ δὲ ταύτης μετὰ σταδίους
τετρακοσίους παραπλεύσαντι χερσόνησον καὶ
θ᾽ ὃν τόπον ἕλκει καὶ ὁ ῥοῦς, ἄλλο ἐστὶν
ἐμπόριον Ὀπώνη· εἰς ἣν καὶ αὐτὴν τὰ προκεχωρημένα
φέρεται, πλεῖστον δὲ ἐν αὐτῇ γεννᾶται
κασία καὶ ἄρωμα καὶ μοτὼ καὶ δουλικὰ
κρείσσονα, ἃ εἰς Αἴγυπτον προχωρεῖ μᾶλλον,
καὶ χελώνη πλείστη καὶ διαφορωτέρα τῆς ἄλ-
λης. πλεῖται δὲ εἰς πάντα ταῦτα τὰ πέραν ἐμ-
πόρια ἀπὸ μὲν Αἰγύπτου περὶ τὸν Ἰούλιον μῆ-
να, ὅ ἐστιν Ἐπιφί. ἐξαρτίζεται δὲ συνήθως καὶ
ἀπὸ τῶν ἔσω τόπων τῆς Ἀριακῆς καὶ Βαρυγά-
ζων εἰς τὰ αὐτὰ ταῦτα πέραν ἐμπόρια, φέροντα προ-
χωροῦντα ἀπὸ τῶν τόπων· σῖτον καὶ ὄρυζαν
καὶ βούτυρον καὶ ἔλαιον σησάμινον καὶ ὀθόνιον
τήν τε μοναχὴν καὶ τὴν σαγματογήνην καὶ περι-
ζώματα καὶ μέλι τὸ καλάμινον τὸ λεγόμενον
σάκχαρι. καὶ οἱ μὲν προηγουμένως εἰς ταῦ-
τα τὰ ἐμπόρια πλέουσιν, οἱ δὲ τὸν παράπλουν
ἀντιφορτίζονται τοῖς ἐμπίπτουσι. οὐ βασιλεύε-
ται δὲ ὁ τόπος, ἀλλὰ τυράννοις ἰδίοις καθ᾽ ἕ-
καστον ἐμπόριον διοικεῖται. ἀπὸ δὲ Ὀπώνης
τῆς ἠϊόνος ἐπὶ τὸ πλεῖον ὑποχωρούσης ἐπὶ
τὸν νότον, πρῶτον μέν ἐστι τὰ λεγόμενα μικρὰ
ἀπόκοπα καὶ μεγάλα τῆς Ἀζανίας, κρημνοὶ, ἀνάγ-
κυροι ὅρμοι, ποταμοὶ ἐπὶ δρόμους ἓξ τὸν ἐπὶ
τὸν λίβα ἤδη· εἶτα αἰγιαλὸς μικρὸς
καὶ μέγας ἐπὶ ἄλλους δρόμους ἕξ· καὶ μετὰ τοῦ
κατὰ τὸ ἑξῆς οἱ τῆς Ἀζανίας δρόμοι· πρῶτος
μὲν ὁ λεγόμενος Σαραπίωνος· εἶθ᾽ ὁ Νίκωνος·
μεθ᾽ ὃν ποταμοὶ πλείονες καὶ ἄλλοι συνεχεῖς ὅρμοι
διῃρημένοι κατὰ σταθμοὺς καὶ δρόμους ἡμε-
ρησίους τοὺς πάντας ...

ὀπώνη ἐμπόριον

σάκχαρι

μικρὰ ἀπόκοπα καὶ μεγάλα τῆς Ἀζανίας ἔνθεν ὑποχωρεῖ ἡ ἀκτή:

δρόμοι Σαραπίωνος Νίκωνος

Πυραλάων νῆσοι ζ΄ καὶ ἡ καινὴ διῶρυξ

ῥαλάων νήσων καὶ ἡ λεγομένη διώρυχος·
ἀφ' ἧς μικρὸν ἐπάνω τοῦ λιβός· μετὰ δύο δρό-
μους νυχθημέρους· παρ' αὐτὴν τὴν δύσιν ἀνατέλ-
λων μενουθεσίας, ὡσανεὶ τῆς νήσου ἀπὸ σταδίων
τῆς γῆς ὡς τριακοσίων· ταπεινὴ καὶ κατά-
δενδρος· ἐν ᾗ καὶ ποταμοί· καὶ ὀρνέων γένη
πλεῖστα· καὶ χελώνη ὀρεινή· θηρίον δὲ οὐδὲν

σημ(είωσαι)

ὅλως ἔχει· πλὴν κροκοδείλων· οὐδὲν μὲν δὲ ἄν-
θρωπον ἀδικοῦσι· ἔχει δὲ ἐν αὐτῇ πλοιάρια
ῥαπτὰ καὶ μονόξυλα, οἷς χρῶνται πρὸς ἁλιείαν
καὶ ἄγραν χελωνῶν· ἐν δὲ ταύτῃ τῇ νήσῳ καὶ
γυργάθοις αὐτοὺς ἰδίως ἀγρεύουσιν, ἀντὶ δι-
κτύων καθιέντες αὐτοὺς περὶ τὰ στόματα

Ῥάπτα ἐμπόριον κεῖται Ἀζανί(ας)

τῶν ῥαχιῶν· ἀφ' ἧς μετὰ δύο δρόμους τῆς
ἠπείρου τὸ τελευταιότατον τῆς Ἀζανίας ἐμ-
πορίον κεῖται, τὰ ῥαπτὰ λεγόμενα· ταύτην
ἔχον τὴν προσηγορίαν ἀπὸ τῶν προειρημένων
ῥαπτῶν πλοιαρίων· ἐν ᾧ καὶ πλεῖστος ἐλέ-

σημ(είωσαι) τοὺς μεγίστους ἀν(θρώπ)ους

φας· καὶ χελώνη· μέγιστοι δὲ ἐν σώμα-
σιν περὶ ταύτην τὴν χώραν ἄνθρωποι πειραταὶ
κατοικοῦσιν· καὶ κατὰ τόπον ἕκαστος ὁμοί-
ως τιθέμενοι τυράννους· νέμεται δὲ αὐτὴν
κατά τι δίκαιον ἀρχαῖον ὑποπίπτουσαν τῇ βα-
σιλείᾳ τῆς πρώτης γινομένης Ἀραβίας.
ὁ Μοφαρίτης τύραννος· παρὰ δὲ τοῦ βασιλέως
ὑπὸ φόρον αὐτὴν ἔχουσιν οἱ ἀπὸ Μούζα, καὶ
πέμπουσιν εἰς αὐτὴν πλοῖα, τὰ πλείονα ναυ-
κλήροις καὶ χρησταῖς Ἄραψιν χρώ-
μενοι τοῖς κατὰ τοὺς τόπους καὶ ἐπιγαμίας
ἔχουσι καὶ ἐμπείρους οὖσι τῶν τόπων καὶ τῆς
φωνῆς αὐτῶν· φέρεται δὲ εἰς ταῦτα ἐμπόρια
μάλιστα τὰ ἐν Μούζᾳ κατασκευαζόμενα λόγχαι
καὶ πελύκια [illegible] καὶ μάχαιραι καὶ

17

μαχαίρια· καὶ ὀπήτια· καὶ λιθίας ὑαλῆς πλεί-
ονα γένη· εἰς δέ τινας τόπους, οἶνος τε καὶ
σῖτος οὐκ ὀλίγος· οὐ πρὸς ἐργασίαν, ἀλλὰ διὰ
δαπάνης χάριν τῆς φιλανθρωπίας τῶν βαρβά-
ρων· ἐκφέρεται δὲ ἀπὸ τῶν τόπων, ἐλέφας
πλεῖστος· ἥσσων δὲ τοῦ ἀδουλιτικοῦ· καὶ ῥινόκε-
ρως· καὶ χελώνη διάφορος, μετὰ τὴν ἰνδικήν·
καὶ ναύπλιος ὀλίγος· καὶ σχεδὸν ἔσχατα τυγχάνον-
τα ἐστὶν ταῦτα τὰ ἐμπόρια τῆς ἀζανίας· τῆς
ἐν δεξιοῖς ἀπὸ βερενίκης ἠπείρου· ὁ γὰρ μετὰ
τούτους τοὺς τόπους ὠκεανὸς ἀνερεύνητος
ὢν, εἰς τὴν δύσιν ἀνακάμπτει· καὶ τοῖς ἀπονεύουσι
μέρεσι μακρὰν τῆς αἰθιοπίας· καὶ λιβύης·
καὶ ἀφρικῆς κατὰ τὸν νότον παρεκτεινόμενος,
εἰς τὴν ἑσπέριον συμμίγνυται θάλασσαν· ἐκ δὲ τῶν
εὐωνύμων βερενίκης ἀπὸ μυὸς ὅρμου δυσὶν ἢ
δρόμοις ἡμέραις εἰς τὴν ἀνατολὴν διαπλεύ-
σαντι τὸν παρακείμενον κόλπον, ὅρμος ἐστὶν ἕ-
τερος καὶ φρούριον, ὃ λέγεται λευκὴ κώμη· δι' ἧς
ἐστιν εἰς πέτραν πρὸς μαλίχαν, βασιλέα να-
βαταίων ὁδός· ἔχει δὲ ἐμπορίου τινὰ καὶ αὐτὴ τάξιν
τοῖς ἀπὸ τῆς ἀραβίας ἐξαρτιζομένοις εἰς
αὐτὴν πλοίοις οὐ μεγάλοις· διὸ καὶ παραφυ-
λακῆς χάριν καὶ εἰς αὐτὴν παραλήπτης τῆς
τετάρτης τῶν εἰσφερομένων φορτίων καὶ ἑ-
κατοντάρχης μετὰ στρατεύματος ἀποστέλλεται·
μετὰ δὲ ταύτην εὐθέως ἡ συναφὴς ἀραβικὴ
χώρα κατὰ μῆκος ἐπὶ πολὺ παρήκουσα τῆς
ἐρυθρᾶς θαλάσσης· διάφορα δὲ ἔθνη κατοικεῖ
κατοικεῖ τὰ μὲν ἐπὶ ποσὸν τὰ δὲ τελείως· καὶ
τῇ διαλέκτῳ [illegible] τὰ μὲν παρὰ θάλασσαν
ὁμοίως καλυβίτων ἰχθυοφάγων μάνδραις
[illegible]

ιη

ση(μείωσαι)

ἐκ τῶν εὐωνύμων τῆς ἐρυθρᾶς θαλάσσης περίπλους

λευκὴ κώμη

ἀραβικὴ χώρα

ἔθνη

ἰχθυοφάγοι

μάνδραις οἰκεῖται ὑπὸ πονηροῖς ἀνθρώποις δι-φθό-
μοις· οἳ τοὺς παραπίπτοντας ἀπὸ τοῦ μέσου πλόος
ὅτε μὲν διαρπάζοντες· ὅτε δὲ καὶ ἀπὸ ναυαγίων
σωθέντας ἀνδραποδίζονται· διὸ καὶ συνεχῶς
ἀπὸ τῶν τυράννων καὶ βασιλέων τῆς ἀραβίας

καναραεῖται

αἰχμαλωτίζονται· καλοῦνται δὲ καναραεῖται·
καθόλου μὲν οὖν ὁ τῆς ἀραβικῆς χώρας πα-
ράπλους παρ' αὐτοῖς ἐπισφαλής· καὶ ἀ-
λίμενος ἡ χώρα καὶ δύσορμος· καὶ ἀκάθαρτος·
ῥαχίαις καὶ σπιλάσιν ἀπρόσιτος· καὶ κατὰ πάν-
τα φοβερά· διὸ καὶ εἰσπλεόντων μέσον πλοῦν
κατέχομεν· καὶ τὴν ἀραβικὴν χώραν μᾶλλον παρα-

κεκαυμένη νῆσος

ροξύνομεν ἄχρι τῆς κατακεκαυμένης νήσου·
μεθ' ἣν εὐθέως ἡμέρων ἀνθρώπων καὶ νομάδων
ἀπὸ βοσκημάτων καμήλων τε συνεχεῖς· καὶ
μετὰ ταῦτα ἐν κόλπῳ τελευταίῳ τοῦ
εὐωνύμου τούτου τοῦ παράπλου ἐμπόριον ἔστιν

μοῦζα

νόμιμον παραθαλάσσιον μοῦζα· ἀπέχουσα ἀπὸ
χωρίου βερενίκης εἰς τὸ πρὸς νότον τὸ
σύμπαν σταδίους μυρίους διακοσίους· τὸ
μὲν ὅλον ἀραβικὸν ναυκλήρων ἀνθρώπων καὶ
ναυτικῶν πεπλήρωται· καὶ τοῖς ἀπὸ ἐμπορί-
ας πραγματείας κινεῖται· συγχρῶνται γὰρ τῇ τοῦ
πέραν ἐργασίᾳ καὶ βαρυγάζων ἰδίοις ἐξαρτι-
σμοῖς· ὑπέρκειται δὲ αὐτῆς ἀπὸ τριῶν ἡμερῶν

πόλις σαυή

πόλις σαυή τῆς περὶ αὐτὴν μαφαρίτιδος λεγο-
μένης χώρας· ἔστιν δὲ τύραννος καὶ κατοικῶν
αὐτὴν χολαῆβος· καὶ μετ' ἄλλας ἐννέα ἡμέρας

ἀφὰρ μητρόπολις

ἔθνη ὁμηρῖται σαβαῖται

ἀφὰρ μητρόπολις· ἐν ᾗ χαριβαὴλ ἔνθεσμος
βασιλεὺς ἐθνῶν δύο· τοῦ τε ὁμηρίτου καὶ τοῦ παρα-
κειμένου λεγομένου σαβαΐτου· συνεχέσι πρε-
σβείαις καὶ δωρεαῖς φίλος τῶν αὐτοκρατόρων·
τὸ δὲ ἐμπόριον ἀλίμενον μὲν εὐσάλευτον

δὲ καὶ ὅρμους διὰ τὰ περὶ αὐτὴν ἀμμόγεια ἀγκυ
ροβόλια· φορτία δὲ εἰς αὐτὴν προχωρεῖ· πορφύ
ρα διάφορος· καὶ χυδαία· καὶ ἱματισμὸς ἀραβι
κὸς χειριδωτός· ὅ τε ἁπλοῦς· καὶ ὁ κοινός· καὶ σκο
τουλάτος· καὶ διάχρυσος· καὶ κρόκος· καὶ κύπε
ρος· καὶ ὀθόνιον· καὶ ἀβόλλαι· καὶ λώδικες οὐ πολ
λαί· ἁπλοῖ τε καὶ ἐντόπιοι· ζῶναι σκιωταί· καὶ μύ
ρον μέτριον· καὶ χρῆμα ἱκανόν· οἶνός τε καὶ σῖτος
οὐ πολύς· φέρει γὰρ καὶ ἡ χώρα πυρὸν μετρίως·
καὶ οἶνον πλείονα· τῷ τε βασιλεῖ καὶ τῷ τυράννῳ
δίδονται ἵπποι τε καὶ ἡμίονοι νωτηγοί· καὶ χρυ
σώματα· καὶ τορευτὰ ἀργυρώματα· καὶ ἱματι
σμὸς πολυτελής· καὶ χαλκουργήματα· ἐξάγε
ται δὲ ἐξ αὐτῆς· ἐντόπια μέν, σμύρνα ἐκλεκτή·
καὶ στακτὴ ἀβηρμιναία· λύγδος· καὶ τὰ ἀπὸ τοῦ
πέραν Ἀδούλει προειρημένα φορτία πάντα·
ἔστι δὲ πλοῦς εἰς αὐτὴν εὔκαιρος περὶ τὸν σε
πτέμβριον μῆνα, ὅς ἐστι Θώθ· οὐδὲν δὲ κωλύει
καὶ τάχιον· μετὰ δὲ ταύτην ὅσον τριακοσίους πα
ραπλεύσαντι σταδίους· ἤδη συνερχομένης τῆς τε
τῆς ἀραβικῆς ἠπείρου καὶ τῆς πέραν κατὰ τὸν
Ἀβαλίτην βαρβαρικῆς χώρας· αὐλών ἐστιν οὐ μα
κρός· συνάγων καὶ σφίγγων τὸ πέλαγος· καὶ εἰς στενὸν
οὗ τὸν μεταξὺ πόρον ἑξήκοντα σταδίων μεσολα
βεῖ νῆσος Διοδώρου· διὸ καὶ ῥοώδης καὶ ἐπιπνεό
μενος ἀπὸ τῶν παρακειμένων ὀρῶν ἐστιν ὁ κα
τ' αὐτὴν διάπλους· κατὰ τοῦτον τὸν πόρον ἐπιθα
λάσσιος ἐστὶν Ἀράβων κώμη τῆς αὐτῆς τυ
ραννίδος· Ὄκηλις· οὐχ οὕτως ἐμπόριον ὡς ὅρμος·
καὶ ὕδρευμα· καὶ πρώτη καταγωγὴ τοῖς ἔσω δι
αίρουσιν· μετὰ δὲ Ὄκηλιν ἀνοιγομένης πάλιν
τῆς θαλάσσης εἰς ἀνατολὰς καὶ κατ' ὀλίγον ἀναπε
λαγιζούσης ἀπὸ χιλίων ... σταδίων ...

στακτή

αὐλὼν κατὰ τὴν ἐρυθρὰν μάλιστα στενὸν τῆς θαλάσσης·

νῆσος Διοδώρου

Ὄκηλις κώμη

[εὐδαίμων ἀραβία] χιλίων διακοσίων, ἐστὶν εὐδαίμων ἀραβία κώμη
παραθαλάσσιος βασιλείας τῆς αὐτῆς χαριβα-
– ἤλ τος· ὅρμους μὲν ἐπιτηδείους καὶ ὑδρεύμα-
τα γλυκύτερα καὶ κρείσσονα τῆς ὀκήλεως
– κειμένη δὲ ἐν ἀρχῇ κόλπου ἔχουσα·
[σημείωσαι ὅτι ἡ εὐδαίμων ἀραβία καλεῖται:] – ὑποφευγούσης τῆς χώρας
εὐδαίμων ἀραβία· εὐδαίμων δὲ
ἐπεκλήθη πρότερον οὖσα πόλις, ὅτε μήπω
ἀπὸ τῆς ἰνδικῆς εἰς τὴν αἴγυπτον ἐρχομένων
μηδὲ ἀπὸ αἰγύπτου τολμώντων εἰς τοὺς ἔσω τόπους
[σημείωσαι] διαίρειν· ἀλλ᾽ ἄχρι ταύτης παραγινομένων, τοὺς
παρ᾽ ἀμφοτέρων φόρτους ἀπεδέχετο· ὥσπερ
ἀλεξάνδρεια καὶ τῶν ἔξωθεν καὶ τῶν ἀπὸ τῆς
αἰγύπτου φερομένων ἀποδέχεται· νῦν δὲ οὐ πρὸ
πολλοῦ τῶν ἡμετέρων χρόνων καῖσαρ αὐτὴν κατε-
– στρέψατο· ἀπὸ δὲ τῆς εὐδαίμονος ἀραβίας εὐ-
[αἰγιαλὸς ἐπιμήκης καὶ κόλπος] θέως αἰγιαλός τε μακρὸς παρήκει καὶ κόλ-
πος ἐπὶ σταδίους δισχιλίους παρήκων ταδί-
[νομάδες καὶ ἰχθυοφάγοι] ους νομάδων τε καὶ ἰχθυοφάγων κώμαις πα-
– ροικούμενος· οὗ μετὰ τὴν προέχουσαν ἄκραν
[κανὴ ἐμπόριον λιβανοφόρου χώρας] ἐμπόριόν ἐστιν ἕτερον παραθαλάσσιον, κανή, βα-
– σιλείας ἐλεαζοῦ χώρας λιβανωτοφόρου· καὶ κατ᾽
[νῆσοι ἡ τῶν ὀρνέων καὶ ἡ τρουλλάς] αὐτὴν ἔρημοι νῆσοι δύο, μία μὲν ὀρνέων
καλουμένη, ἡ δ᾽ ἑτέρα τρουλλάς, ἀπὸ σταδίων ἑκα-
– τὸν εἴκοσι τῆς κανῆς· ὑπέρκειται δὲ αὐτῆς με-
[σαυβαθὰ μητρόπολις] σόγειος ἡ μητρόπολις σαυβαθά, ἐν ᾗ καὶ ὁ βα-
σιλεὺς κατοικεῖ· πᾶς δὲ ὁ γεννώμενος ἐν τῇ χώ-
ρᾳ λίβανος εἰς αὐτὴν ὥσπερ ἐκδοχεῖον εἰσάγεται
καμήλοις τε καὶ σχεδίαις ἐντοπίαις δερματίναις
ἐξ ἀσκῶν καὶ πλοίοις· ἔχει δὲ καὶ αὕτη συγχρη-
σιν τῶν ἐν τοῖς πέραν ἐμπορίων βαρυγάζων καὶ σκυ-
θίας καὶ ὁμανῶν καὶ τῆς παρακειμένης περσίδος.
– εἰσάγεται δὲ εἰς αὐτὴν ἀπὸ αἰγύπτου μὲν ὁμοίως πυ-
ρὸς ὀλίγος καὶ οἶνος ὥσπερ καὶ εἰς μούζαν, ἱματι-

σμὸς ἀραβικὸς· καὶ ὁ μόνος· καὶ κοινὸς καὶ ἁπλοῦς·
καὶ ὁ νόθος περισσότερος· καὶ χαλκὸς· καὶ κασ-
σίτερος· καὶ κοράλλιον· καὶ στύραξ· καὶ τἆλλα ὅσα εἰς
Μούζαν· πλεῖστα δὲ ἀργυρώματα τε-
τορευμένα· καὶ χρήματα τῷ βασιλεῖ· ἵπποι τε
καὶ ἀνδριάντες· καὶ ἱματισμὸς διάφορος ἁπλοῦς·
ἐξάγεται δὲ ἐντόπια μὲν φορτία λί-
βανος· καὶ ἀλόη· τὰ δὲ λοιπὰ κατὰ μετοχὴν
τῶν ἄλλων ἐμπορίων· πλέουσι δὲ εἰς αὐτὴν ἀπὸ
τῶν αὐτῶν καιρῶν· ὧν καὶ οἱ εἰς Μούζαν· προϊμώτε-
ρον δέ· μετὰ δὲ Κανὴν ἐπὶ πλεῖον ὑποχωρού-
σης τῆς γῆς ἄλλος ἐκδέχεται βαθύτατος κόλπος ἐπὶ
πολὺ παρεκτείνων ὁ λεγόμενος Σαχαλίτης·
καὶ χώρα λιβανωτοφόρος· ὀρεινή τε καὶ δύσ-
βατος ἀέρα παχὺν ἔχουσα καὶ ὁμιχλώδη·
καὶ ἀπὸ τῶν δένδρων φερόμενον τὸν λίβανον·
ἔστι δὲ τὰ δένδρα τὰ λιβανοφόρα οὐ μεγάλα
λα οὐδὲ ὑψηλά· ἐκφέρει δὲ ἐπὶ τοῦ φλοιοῦ τὸν
συμπεπηγότα τὸν λίβανον ὥσπερ καὶ παρ' ἡμῖν
ἐν Αἰγύπτῳ δένδρων δάκρυον τινά· μεταχει-
ρίζεται δὲ ὁ λίβανος ὑπὸ δούλων βασιλικῶν καὶ
τῶν ὑπὸ τιμωρίαν πεμπομένων· δεινῶς γάρ εἰσιν
νοσώδεις οἱ τόποι· καὶ τοῖς μὲν παραπλέουσι λοι-
μικοί· τοῖς δὲ ἐργαζομένοις πάντοτε θανα-
τώδεις· ἔτι δὲ καὶ δι' ἀτροφίαν εὐ-
χερῶς ἀπολλύμενοι· τούτου δὲ τοῦ κόλπου ἀκρωτή-
ριον τοῦ κόσμου μέγιστον πρὸς ἀνατολὰς ἀποβλέπον
τὸ καλούμενον Σύαγρος· ἐφ' οὗ φρούριον
ἐστὶ τῆς χώρας· καὶ λιμήν· καὶ ἀποθήκη τοῦ
συναγομένου λιβάνου· καὶ κατ' αὐτὸ τὸ πέλαγος
νῆσος κεῖται ἀνὰ μέσον τούτου καὶ τοῦ ἀντιπέραν
ἀκρωτηρίου τῶν ἀρωμάτων προχωροῦσα ...
ρίζουσα μᾶλλον ... Διοσκουρίδου ...

στύραξ

ἀλόη

Σαχαλίτης κόλπος ἡ χώρα λιβανωτοφόρος

πλοῖα ... κατάγεται

Σύαγρος ἄκρων μέγιστον βλέπον ἀνατολήν

Διοσκουρίδης νῆσος

ὅτι κροκόδειλ(οι) ἐχίδναι καὶ σαῦρ(οι) μεγέθ(ει)

μεγίστη μέν, ἔρημος δὲ καὶ κάθυγρος· ἔχουσα
ποταμοὺς ἐν αὐτῇ· καὶ κροκοδείλους· καὶ ἐχί-
δνας πλείστας καὶ σαύρας ὑπερμεγέθεις· ὧν τὸ
κρέας τῶν σαυρῶν ἐσθίουσι· τὸ δὲ στέαρ τήκου-
σι καὶ ἀντ' ἐλαίου χρῶνται· καρπὸν μὲν δὲ οὔτε ἄμ-
πελον οὔτε σῖτον ἡ νῆσος φέρει· οἱ δὲ ἐνοι-
κοῦντες αὐτὴν ὀλίγοι· κατὰ μίαν πλευρὰν τῆς
νήσου τῆς πρὸς ἀπαρκτίαν οἰκοῦσι κατὰ τὸ μέρος
ἀπονεύοντα τὴν ἤπειρον· εἰσὶ δὲ ἐπίξενοι καὶ
ἐπιμικτοὶ Ἀράβων τε καὶ Ἰνδῶν καὶ τινῶν μὲν
Ἑλλήνων τῶν πρὸς ἐργασίαν ἐκπλεόντων· φέ-
ρει δὲ ἡ νῆσος χελώνην, τήν τε ἀληθινὴν καὶ
χερσαίαν καὶ τὴν λευκήν· πλείστην δὲ διαφο-
ρον καὶ τοῖς ὀστράκοις μείζοσιν· τήν τε ὀρεινὴν
ὑπερμεγέθη καὶ παχύτατον ὄστρακον ἔχουσαν·
οὗ τὰ παρὰ τὴν κοιλίαν μέρη, μὲν ταῖς ἐν χρήσο-
ται· τομὴν οὐ κόπτω δὲ χεσθαι καὶ πυρρότερα ὄντα·
ὀλοτελῶς δὲ ταῖς γλωσσοκόμοις καὶ πινακίδια
καὶ μαγίδια ἐγχρήζοντα, καὶ τοιαύτην τινὰ
γρυτὴν κατακόπτεσθαι· γίνεται δὲ ἐν αὐτῇ καὶ

κιννάβαρι

β΄ Σκυθικῶν· παράκειται δὲ τὸ Καυκάσιον ὄρος·

ὄρος Καυκάσιον

ἐκαλεῖτο δὲ τὸ πρότερον Βορέου κοίτη δι' αἰ-
τίαν τοιαύτην· Βορέας δι' ἐρωτικὴν ἐπιθυ-
μίαν Χιόνην ἁρπάσας τὴν Ἀρκτούρου θυγα-
τέρα, κατήνεγκεν εἴς τινα λόφον Νιφάντην
καλούμενον, καὶ ἐγέννησεν υἱὸν ἐκ τῆς προστρι-
μένης υἱὸν Ὕρπακα, τὸν διαδεξάμενον Ἡνιό-
χου τὴν βασιλείαν· μετωνομάσθη δὲ τὸ ὄρος κοί-
την Βορέου· προσηγορεύθη δὲ Καύκασος δι' αἰ-
τίαν τοιαύτην· μετὰ τὴν γιγαντομαχίαν
Κρόνος ἐκκλίνων τὰς Διὸς ἀπειλὰς, ἔφυγεν
ἐπὶ τὴν ἀκρώρειαν Βορέου κοίτης, καὶ εἰς κρο-
κόδειλον μεταμορφωθεὶς, ἕνα τῶν ἐγχωρίων
ποιμένα Καύκασον ἀνατεμὼν, καὶ κατανο-
ήσας αὐτοῦ τὴν διάθεσιν τῶν σπλάγχνων, ἐφώνει
οὐ μακρὰν εἶναι τοὺς πολεμίους· ὁ δὲ Ζεὺς ἐπι-
φανεὶς, τὸν μὲν πατέρα δήσας πλεκτῷ ἐρίῳ,
κατεταρτάρωσεν· τὸ δὲ ὄρος ἐπὶ μνήμῃ τοῦ ποιμέ-
νος Καύκασον μετονομάσας, προσέδησεν αὐ-
τῷ τὸν Προμηθέα, καὶ ἠνάγκασεν αὐτὸν ὑπὸ
σπλαγχνοφάγου ἀετοῦ κατακνίζεσθαι, ὅτι περὶ
νόμικον ἦν τῶν σπλάγχνων, ὡς ἱστορεῖ Κλεάνθης
ἐν γ΄ Θεομαχίας· γεννᾶται δ' ἐν αὐ-
τῷ βοτάνη Προμήθειος καλουμένη, ἣν Μή-
δεια συλλέγουσα καὶ λειοτριβοῦσα πρὸς ἀντι-

βοτάνη ἐν τῷ ὄρει προμήθειος

ἄραρ

ς´

παθοῦσα τοῦ πατρὸς ἐχρήσατο καὶ ἐθάφη περὶ τὸ
ῥεῖθρον αὐτοῦ:

Ἄραρ ποταμός ἐστι τῆς κελ-
τικῆς, τὴν προσηγορίαν εἰληφὼς παρὰ τὸ ἡρ-
μόσθαι τῷ ῥοδανῷ· καταφέρεται γὰρ εἰς τοῦτον κα-
τὰ τὴν χώραν τῶν ἀλλοβρόγων. ἐκαλεῖτο δὲ πρό-
τερον βρίγουλος, μετωνομάσθη δὲ δι᾽ αἰτίαν
τοιαύτην. ἄραρ κυνηγεσίας χάριν εἰς ὕλην
προχωρήσας, καὶ εὑρὼν τὸν ἀδελφὸν κελτίβη-
ρον ὑπὸ θηρίων ἀνῃρημένον, διὰ λύπης ὑπερ-
βολὴν ἑαυτὸν καιρίως πλήξας, ἐνέβαλεν εἰς τὸν
ποταμὸν βρίγουλον, ὃς ἀπ᾽ αὐτοῦ μετωνομάσθη

ἰχθὺς σκολόπις

ση(μείωσαι)

ἄραρ. γεννᾶται δὲ ἐν αὐτῷ μέγας ἰχθὺς σκολό-
πιδος προσαγορευόμενος ὑπὸ τῶν ἐγχωρίων·
οὗτος αὐξανομένης τῆς σελήνης λευκός ἐστιν,
μειουμένης δὲ μέλας γίνεται· παμμεγέθης ὑπερ-

λίθος ἐν τῇ κεφαλῇ τοῦ ἰχθύος χόνδρῳ παρόμοιος·

ζήσας δὲ ἀναιρεῖται ὑπὸ τῶν ἰδίων ἀκανθῶν. εὑρί-
σκεται δὲ ἐν αὐτῷ λίθος ἐν τῇ κεφαλῇ χόνδρῳ πα-
ρόμοιος, ὃς καλῶς ποιεῖ πρὸς τεταρταίους νό-
σους, τοῖς ἀριστεροῖς μέρεσι τοῦ σώματος προσ-
δεδεμένος, τῆς σελήνης μειουμένης· καθὼς
ἱστορεῖ καλλισθένης ὁ συβαρίτης ἐν ιγ´ γαλατι-
κῶν, παρ᾽ οὗ τὴν ὑπόθεσιν εἴληφε τιμαγένης

ὄρος λούγδουνον·

ὁ σύρος. παράκειται δὲ αὐτῷ ὄρος λούγδουνος
καλούμενον· μετωνομάσθη δὲ δι᾽ αἰτίαν τοιαύτην·
μώμορος καὶ ἀτεπόμαρος ὑπὸ σεσηρονέως τῆς
ἀρχῆς ἐκβεβλημένοι, εἰς τοῦτον κατὰ προστα-
γὴν τὸν λόφον πόλιν κτίσαι θέλοντες· τῶν δὲ
θεμελίων ὀρυσσομένων, αἰφνιδίως κόρακες
ἐπιφανέντες καὶ διαπτερυξάμενοι τὰ πέριξ
ἐπλήρωσαν δένδρα· μώμορος δὲ οἰωνοσκο-
πίας ἔμπειρος ὑπάρχων, τὴν πόλιν λούγδουνον
προσηγόρευσεν· λοῦγον γὰρ τῇ σφῶν διαλέκτῳ
τὸν κόρακα καλοῦσιν· δοῦνον δὲ τὸν ἐξέχοντα·

καθὼς ἱστορεῖ Κλειτοφῶν ἐν ιγ' Κτίσεων :~

ζ' Πακτωλὸς ποταμός ἐστι τῆς Λυδίας κατὰ τὴν πόλ(ιν)
Σάρδεις· ἐκαλεῖτο δὲ πρότερον Χρυσορρόας·
Χρυσορρόας ὁ Ἀπόλλωνος καὶ Ἀπαθίππης παῖς· τὴν
μηχανικὴν τέχνην ἀσκήσας καὶ παμ[...]ου
συνεχόμενος, νυκτὸς κατ[...]ας τοὺς θησαυροὺς
Κροίσου τοῦ βασιλέως ἀνέωξεν καὶ τὸν χρυσὸν
ἐκκομίζων διεδίδου τοῖς οἰκείοις· καταληφθεὶς
δὲ ὑπὸ τῶν φρουρῶν καὶ καταληπτὸς γενό-
μενος, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν ὃς ἀπ' αὐτοῦ
Χρυσορρόας μετωνομάσθη· Πακτωλὸς δὲ μετε-
κλήθη δι' αὐτὴν δὲ τὴν περίστασιν· Πακτωλὸς
ὁ [...]ρος καὶ Λευκοθέης παῖς, ἐν τοῖς Ἀφροδίτης
μυστηρίοις Δημοδίκην τὴν ἀδελφὴν κατ' ἄ-
γνοιαν βιασάμενος καὶ περὶ τῶν συμβεβη-
κότων κατασχεθεὶς διὰ λύπης ὑπερβολὴν ἑ-
αυτὸν ἔρριψεν εἰς ποταμὸν Χρυσορρόαν, ὃς ἀπ' αὐ-
τοῦ Πακτωλὸς προσηγορεύθη. γεννᾶται δ' ἐν
αὐτῷ ψῆγμα διαφανοῦς χρυσίου, καταφερόμενος
[...] γεννᾶται δ' ἐν αὐτῷ καὶ
λίθος ἀρουραφύλαξ καλούμενος· ἔστι δὲ ἀργύ-
ρῳ παρόμοιος· εὑρίσκεται δὲ δυσχερῶς, τῷ κατα-
φερομένῳ ψήγματι συναναμιγνύμενος· ἔχει
δὲ δύναμιν τοιαύτην· οἱ ἐν ἐξοχῇ τυγχάνοντες
τῶν Λυδῶν συναγοράζουσιν αὐτοῦ καὶ πρὸ τῆς
εἰσόδου τῶν θησαυρῶν τιθέασιν, καὶ διαφυλάτ-
τουσιν ἀκίνδυνον τὸν διατιθέμενον χρυσόν·
ὁσάκις γὰρ ἂν φῶρες ἐπέλθωσιν, σάλπιγγος ἦ-
χον ἀναδίδωσιν ὁ λίθος· οἱ δὲ ὡς ὑπὸ δορυφόρων
διωκόμενοι, κατακρημνῶν φέρονται καὶ κα-
[...] τόπους τῶν κακοθανατησάντων Πακτω-
λοῦ φρουραί. γεννᾶται δὲ βοτάνη πορφυρᾶν-
θεμος καλουμένη χρυσόπολις· πρὸς αὐτὴν γὰρ

Πακτωλός

ψῆγμα χρυσοῦ

λίθος ἀρουραφύλαξ

βοτάνη πορφυράνθεμος ἡ χρυσόπολις:

ἀπαυγάζοντος ὥσπερ τὸν ἀέραιον χρυσὸν δὲ
λικμάζουσιν· ἀμέλει γὰρ αὐτὸν χωνευθῆναι, ἀπιοῦ-
σι τὴν κοστάνην καὶ ἐὰν μὲν ἀνόθευτον τὸ χρυ-
σίον ᾖ, τὰ φύλλα χρυσοῦνται καὶ διατηρεῖ τῆς
ὕλης τὴν οὐσίαν· ἐὰν δὲ ἐφθαρμένον ὑπάρχῃ,
τὴν κεκαυμένην ἐργασίαν ἀποπτύει· καθὼς

ὄρος Τμῶλος

ἱστορεῖ Χρύσερμος, ἐν γ΄ περὶ ποταμῶν. παρά-
κειται δὲ αὐτῷ ὄρος Τμῶλος, παντοδαπῶν θη-
ρίων πλῆρες· ἐκαλεῖτο δὲ πρότερον Καρμανό-
ριον, ἀπὸ Καρμάνορος τοῦ Διονύσου καὶ Ἀλεξιρόη-
ας παιδός, ὃς κυνηγῶν ἀπέθανεν ὑπὸ κά-
πρου πληγείς· ὕστερον δὲ μετωνομάσθη Τμῶ-
λος διὰ ταύτην αἰτίαν· Τμῶλος Ἄρεως καὶ
Θεογόνης υἱὸς βασιλεὺς Λυδίας ἐν Καρμανορίῳ
κυνηγετῶν ὄρει, καὶ θεασάμενος Ἀρριππὴν παρ-
θένον τῇ Ἀρτέμιδι συναναστρεφομένην ἠκ· [illegible]
θ[illegible] αὐτὴν ἔπεσεν καὶ [illegible]μενος
ὑπὸ τοῦ ἔρωτος, ἐπεδίωκεν αὐτὴν βιάσασθαι
κουζόμενος· ἡ δὲ περικατάληπτος γινομέ-
νη, ἀπέφυγεν εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος· κα-
ταφρονήσας δὲ τῆς δεισιδαιμονίας ὁ τύραν-
νος, ἐν τῷ τεμένει τὴν κόρην ἔφθειρεν· ἡ δὲ ἀ-
θυμίασιν σχεθεῖσα, βρόχῳ τὸν βίον παρεῖ-
τεν· ἀναξιοπαθήσασα δὲ ἐπὶ τοῖς πραχθεῖσιν
ἡ θεός, οἰστροπλῆγα τῷ προειρημένῳ ταῦρον ἐ-
πέκλινεν· ὑφ' οὗ ῥιφθεὶς ἐφ' ὕψος καὶ τοῖς σκόλοψι πα-
κατενεχθείς, μετὰ [illegible] ἐτελεύτησεν· Θεοκλύμε-
νος δὲ ὁ τοῦ προειρημένου παῖς, τὸν γεννήσαντα

λίθος κισσήρει παρόμοιος ἐν τῷ ὄρει·

θάψας, τὸ ὄρος ἀπ' αὐτοῦ μετωνόμασεν· γεννᾶ-
ται δὲ ἐν αὐτῷ λίθος, κισσήρει παρόμοιος, καὶ σπα-
νίως εὑρίσκεται· τετράκις γὰρ τῆς ἡμέρας ἀλλάσ-
σει τὴν χρόαν· βλέπεται δὲ ὑπὸ παρθένων τῶν
μὴ τῷ χρόνῳ φρονήσεως ἐχουσῶν [illegible]

ἐχούσαι γάμου, ἐὰν ὁρῶσιν αὐτόν, οὐδὲν ἀδικοῦν-
ται παρὰ τῶν ὑβριζόντων, καθὼς ἱστορεῖ Κλει-
τοφῶν:

η΄ Λύκαρμος ποταμός ἐστιν Αἰ-
τωλίας· μετωνομάσθη δὲ Εὔηνος δι' αἰτίαν τοι-
αύτην· Ἴδας ὁ Ἀφαρέως παῖς, δι' ἔρωτι κινηθεὶς
θυγατέρα Μάρπησσαν ἁρπάσας, ἀπήνεγκεν ἐκ
τῶν χορῶν· καὶ τυχηθέντος δὲ περὶ τῶν συμβεβη-
κότων ὁ Εὔηνος, ἐπεδίωκε τὸν ἁρπάζοντα τῆς
ἰδίας θυγατρός· γενόμενος δὲ κατὰ Λυκόρ-
μαν, καὶ τῆς συλλήψεως ἀπελπίσας, ἑαυτὸν
εἰς τὸν ποταμὸν ἐνέβαλεν· ÷ ÷ ÷ ὅθεν ἀπ' αὐτοῦ Εὔηνος
μετωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ βοτάνη
λόγχῃ παρόμοιος, ποιοῦσα πρὸς ἀμβλυωπί-
ας ἄριστα. παράκειται δὲ αὐτῷ ὄρος Μύηνον
καλούμενον, ἀπὸ Μυήνου τοῦ Τελέστορος καὶ Ἀλ-
÷ ÷ φεσιβοίας τῆς παιδός· οὗτος γὰρ ὑπὸ τῆς
μητρυιᾶς ἐριζόμενος καὶ μὴ θέλων μιαίνειν
τὴν κοίτην τοῦ γεννήσαντος, εἰς Ἀλφείον ὄρος
ἀνεχώρησεν· Τελέστωρ δὲ ὁ ζηλωτὴς τῆς γυ-
ναικὸς, σχηματισθεὶς τὴν ἐρημίαν μετὰ
τῶν δορυφόρων κατὰ τοῦ υἱοῦ [illegible] ζητούμενος·
ἐδίωκεν· Μύηνος δὲ φθάσας τοῦ πατρὸς τὰς
ἀνάγκας, κατεκρήμνισεν ἑαυτόν· τὸ δ' ὄρος κα-
τὰ πρόνοιαν θεῶν, ἀπ' αὐτοῦ Μύηνον μετωνομά-
σθη. γεννᾶται δ' ἐν αὐτῷ λευκόϊον ἄνθος, ὃ μη-
τρυιᾶς ὀνομασθείσης μαραίνεται, καθὼς ἱστο-
ρεῖ Δερκύλλος ἐν γ΄ περὶ ὀρῶν:

θ΄ Μαίανδρος
ποταμός ἐστιν Ἀσίας· ἐκαλεῖτο δὲ πρότερον
Ἀναβαίνων· μόνος γὰρ ἐκ πάντων τῶν ποταμῶν
ἀπὸ τῶν ἰδίων ἀρχόμενος πηγῶν, εἰς ἑαυτὸν
παλινδρομεῖ· προσηγορεύθη δὲ Μαίανδρος
ἀπὸ Μαιάνδρου τοῦ Κερκάφου καὶ Ἀναξιβί-
ας παιδός· οὗτος πρὸς Πεσσινουντίους πόλεμον ἔχων·

Λύκαρμος

βοτάνη ἐν τῷ ποταμῷ λόγχη

ὄρος Μύηνον

ἄνθος λευκόϊον ἐν τῷ ὄρει

Μαίανδρος

ηὔξατο τῇ μητρὶ τῶν θεῶν, ἐὰν ἐγκρατὴς γέ-
νηται τῆς νίκης, θύσειν τὸν πρῶτον αὐτῷ συγ-
χαρέντα ταῖς ἀνδραγαθίαις. τρόπαια φέ-
ρων ὑποστρέψαντι δὲ τῷ προειρημένῳ, πρῶτος
συνεχάρη συναντήσας ὁ παῖς Ἀρχέλαος, μετὰ
τῆς μητρὸς καὶ τῆς ἀδελφῆς. ὁ δὲ τῇ προ-
ειρημένῃ δεισιδαιμονίᾳ ἀναγκασθεὶς, καὶ
τὴν ἀνάγκην, υἱοῖς κατηνάγκασε τοὺς προσή-
κοντας. ἀθυμήσας δὲ ἐπὶ τοῖς πραχθεῖσιν, ἔρ-
ριψεν ἑαυτὸν εἰς τὸν ποταμὸν Ἀναβαίνοντα, ὃς ἀπ' αὐ-
τοῦ Μαίανδρος προσηγορεύθη· καθὼς ἱστορεῖ
Τιμόλαος ἐν α' Φρυγιακῶν. μέμνηται δὲ τού-
των καὶ Ἀγαθοκλῆς ὁ Σάμιος ἐν τῇ Πεσσινουν-
τίων πολιτείᾳ. Δημόστρατος δὲ ὁ Ἀπαμεὺς ἱ-
στορίας μέμνηται τοιαύτης· Μαίανδρος αὐτο-
στρατηγὸς χειροτονηθεὶς ἐξ ἐναντίας Πεσσινουν-
τίων, καὶ παρ' ἐλπίδας τῆς νίκης ἐγκρατὴς
γενόμενος, τὰ ἀναθήματα τῆς μητρὸς τῶν
θεῶν διέδωκε τοῖς στρατιώταις· κατὰ δὲ πρό-
νοιαν τῆς θεᾶς, τῶν σωφρονούντων λογισμῶν
αἰφνιδίως ἀπαλλοτριωθεὶς, προσαπέκτεινεν
τήν τε γυναῖκα καὶ τὸν υἱόν· ὀλίγον δὲ σωφρονή-
σας, καὶ εἰς μετάνοιαν ἐπὶ τοῖς πραχθεῖσιν χω-
ρήσας, ἑαυτὸν ἐνέβαλεν εἰς τὸν ποταμόν, ὃς ἀπ' αὐτοῦ
Μαίανδρος προσωνομάσθη. γεννᾶται δ' ἐν αὐ-
τῷ λίθος, κατ' ἀντίφρασιν σώφρων καλούμε-
νος· ὃν ἐὰν ἐμβάλῃς τινὸς εἰς κόλπον, ἐμμανὴς γί-
νεται, καὶ φονεύει τινὰ τῶν συγγενῶν. ἐξιλασά-
μενος δὲ τὴν μητέρα τῶν θεῶν, ἀπαλλάσσε-
ται τοῦ πάθους· καθὼς ἱστορεῖ Δημάρατος ἐν
γ' περὶ ποταμῶν· μέμνηται δὲ τούτων Ἀρχέ-
λαος ἐν α' περὶ λίθων. παράκειται δ' αὐτῷ ὄρος
Σίπυλον, τὴν προσηγορίαν ἔχον ἀπὸ Σιπύλου

[margin, beside line 15:] ἄλλως

[margin, beside lines 26–27:] λίθος ἐν τῷ πο- ταμῷ ὁ σώφρων

[margin, beside line 28:] ση(μείωσαι)

[margin, beside line 33:] ὄρος Σίπυλον

τοῦ ἀντίμορος καὶ διοξίππης παιδός. οὗτος
γὰρ μητρὶ κοινωνήσας κατ' ἄγνοιαν καὶ ὑπὸ ἐ-
ρινύων οἰστρηλαθεὶς, ἀπὸ κεραυνίου ὄρους κη-
θεὶς καὶ διὰ ξίφους ὑπὲρ κοσμίαν προχωρῶν τὸν μαί-
ον περιέγραψεν. τὸ δ' ὄρος κατὰ πρόνοιαν θε-
ῶν ἀπ' αὐτοῦ σίπυλον ὠνομάσθη. γεννᾶται δ' ἐν
αὐτῷ λίθος παρόμοιος κυλίνδρῳ, ὃν οἱ εὐσεβεῖς
ἡγούμενοι ἀνδρῶσιν ἕνεκεν τῆς μητρὸς τῶν
θεῶν τιθέασιν· καὶ οὐδέποτε χάριν ἀσεβείας
ἁμαρτοῦσιν· ἀλλὰ φιλοπάτορες ὑπάρχουσιν
καὶ πρὸς τοὺς προσήκοντας συμπαθοῦσιν, ὡς
ἱστορεῖ ἀγαθαρχίδης ὁ σάμιος ἐν δ' κτίσεων· μέ-
μνηται δὲ τούτων καὶ τιμαγόρας δημάρατος ἐν
δ' φρυγίας:

λίθος ἐν τῷ ὄρει παρόμοιος κυλινδαρίῳ

ΙΙ

μαρσύας

Μαρσύας ποταμός ἐστι τῆς φρυ-
γίας, κατὰ πόλιν κελαινὰς κείμενος. προσηγο-
ρεύετο δὲ πρότερον πηγὴ μίδα δι' αἰτίαν τοιαύ-
την. μίδας βασιλεὺς φρυγῶν, ἐρχόμενος τὰ
ἐρημότερα τῆς χώρας, καὶ ἀνυδρίᾳ συνεχόμε-
νος, ἔκρουσε τὴν γῆν, καὶ χρυσῆν ἀνέδωκεν
πηγήν. τοῦ δ' ὕδατος χρυσοῦ γενομένου καὶ
ὑπὸ δίψους αὐτοῦ, καὶ τῶν ὑποτεταγμένων θλιβο-
μένων, ἀνεκαλέσατο τὸν διόνυσον· γενόμενος
δ' ἐπήκοος ὁ θεὸς, δαψιλὲς ὕδωρ ἀνέδωκεν. κο-
ρεσθέντων δὲ τῶν φρυγῶν, μίδας ὀνόμασε τὴν κρή-
νην καταρρέοντα ποταμὸν, μίδα πηγὴν ἐκά-
λεσεν· μετωνομάσθη δὲ μαρσύας δι' αἰτίαν ταύτην
αἰτίαν. νικηθέντος ὑπὸ ἀπόλλωνος μαρσύου
καὶ ἐκδαρέντος, ἐκ τοῦ ῥεύσαντος αἵματος, ἐγεν-
νήθησαν σάτυροί τε καὶ ποταμὸς ὁμώνυμος μαρ-
σύας καλούμενος, καθὼς ἱστορεῖ ἀλέξανδρος κορ-
νήλιος ἐν γ' φρυγιακῶν. εὐημερίδας δὲ ὁ κνί-
διος ἱστορίας μέμνηται τοιαύτης· ὁ ἀσκὸς μαρ-
σύου τῷ χρόνῳ διαπαρεὶς καὶ κατενεχθεὶς

ἄλλως

ἐπεσε[ῖσ]ματα ἀπὸ τῆς γῆς· ἀσκὴν μὲν δακερκὴν καὶ
κατὰ τὸ μέγιστον καταφερόμενος, ἅμα τινὶ προσκ-
ενεχθῆ· κατὰ δὲ χρησμοῦ προφανῆ πεσὼν στρα-
τος ὁ ξαλεκδαιμόνιος· παραλάταμα τοὺς σατύ-
ρου πόλιν ἀπὸ τοῦ συγκυρήματος κτίσας, Νό-
ρικον αὐτὴν προσηγόρευσεν· Νόρικον δὲ οἱ
Φρύγες τῇ ἑαυτῶν διαλέκτῳ τὸν ἀσκὸν καλοῦ-
σιν. γεννᾶται δὲ ἐν τῷ ποταμῷ τούτῳ βοτά-
νη, αὐλὸς ὀνομαζομένη· ἣν ἐὰν πρὸς ἄνεμον
σείῃ τις, μουσικὴν ἔχει μελῳδίαν. καθὼς
ἱστορεῖ Δερκύλλος ἐν α΄ Σατυρικῶν. παράκει-
ται δὲ αὐτῷ ὄρος Βερεκύνθιον καλούμενον, τὴν
προσηγορίαν ἔχον ἀπὸ Βερεκύνθου τοῦ πρώ-
του ἱερέως γενομένου τῆς μητρὸς τῶν θεῶν.
γεννᾶται δὲ ἐν αὐτῷ λίθος καλούμενος μά-
χαιρα· ἔστι γὰρ σιδήρου παραπλήσιος· ὃν ἐὰν
εὕρῃ τις τῶν μυστηρίων ἐπιτελουμένων τῆς
θεᾶς, ἐμμανὴς γίνεται, καθὼς ἱστορεῖ Ἀγαθαρχί-
δης ἐν τοῖς Φρυγιακοῖς:

ια΄ Στρυμὼν ποταμός ἐστι τῆς Θρᾴκης, κατὰ πόλιν Ἠδωνίδα·
προσηγορεύετο δὲ πρότερον Παλαιστῖνος, ἀ-
πὸ Παλαιστίνου τοῦ Ποσειδῶνος· οὗτος γὰρ πρὸς
τοὺς ἀστυγείτονας ἔχων πόλεμον, καὶ νοσήσας ἔ-
πεμψεν τὸν υἱὸν Ἁλιάκμονα στρατηγόν·
ὁ δὲ προπετέστερον μαχόμενος, ἀνῃρέ-
θη· περὶ δὲ τῶν συμβεβηκότων ἀκούσας Πα-
λαιστῖνος, καὶ θέλων τοὺς δορυφόρους, διὰ
λύπης ὑπερβολὴν, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν
Κόνοζον, ὃς ἀπ' αὐτοῦ Παλαιστῖνος ὠνομάσθη.
Στρυμὼν δ' ὁ Ἄρεος παῖς καὶ Ἡλίκης, ἀκούσας τὴν πε-
ρὶ τὴν Ῥήσου τελευτήν, καὶ ἀθυμίαις συσχεθεὶς
ἑαυτὸν ἔρριψεν εἰς τὸν ποταμὸν Παλαιστῖνον, ὃς ἀπ'
αὐτοῦ Στρυμὼν μετωνομάσθη. γεννᾶται δὲ ἐν

Marginal notes: η΄ — βοτάνη, αὐλός — ὄρος Βερεκύνθιον: — λίθος ἐν τῷ ὄρει μάχαιρα: — Στρυμὼν ια΄ — λαθὼν — λίθος παυσίλυπος·

αὐτῷ λίθος παυσίλυπος καλούμενος· ὃ ἐὰν ἄρη-
τις πενθῶν, παύεται παραχρῆμα τῆς κατε-
χούσης αὐτὸν συμφορᾶς· καθὼς ἱστορεῖ Ἰάσων
ὁ Βυζάντιος ἐν τοῖς Τραγικοῖς. παράκεινται δ᾽ αὐ-
τῷ ὄρη Ῥοδόπη καὶ Αἷμος· οὗτοι ἀδελφοὶ τυγχά-
νοντες, καὶ ἐσθέντες θηλυμανῶς ἀλλήλων ἐμπαθοῦντες,
ὁ μὲν αὐτὴν Ἥραν προσηγόρευεν, ἡ δὲ τὸν Δί-
α· γαυρωσάμενον διαλλασσόντων ὕβρεως, οἱ δ᾽ ἀπαιτούμε-
νοι θεοὶ τὴν πρᾶξιν μερίσαντες ἐγγενόντας· τὸ
ὁμώνυμα ὄρη μετέβαλον ἀμφοτέρους. γεν-
νῶνται δ᾽ ἐν αὐτοῖς λίθοι φιλάδελφοι λεγόμε-
νοι· κοραξοὶ τὴν χρόαν, ἀνθρωπόμορφοι· οὗτοι τε-
θέντες χωρὶς ἀλλήλων, καὶ ὀνομασθέντος διαι-
ροῦνται παραχρῆμα καὶ ἰδίας· καθὼς ἱστορεῖ Θρά-
συλλος Μενδήσιος ἐν γ᾽ περὶ λίθων· μέμνηται
δὲ τούτων ἀκριβέστερον ἐν τοῖς Τραγικοῖς:

ΙΒ Σάγαρις ποταμός ἐστι τῆς Φρυγίας· προσηγορεύε-
το δὲ πρότερον ÷ Ξηροβάτης, ἀπὸ τοιούτου
συγκυρήματος· τῶν γὰρ θερινῶν καταστημάτων ξη-
ρὸς ὁρᾶται πολλάκις. ἐκλήθη δὲ Σάγαρις δι᾽ αἰ-
τίαν τοιαύτην· Σάγαρις Μύγδονος καὶ Ἀλεξιρ-
ρόης, ἀτιμάσας μυστήρια τῆς μητρὸς τῶν θεῶν ἐ-
ξουθένιζεν, τοὺς ἱερεῖς καὶ Γάλλους αὐτῆς ὕβρι-
σεν· ἡ δὲ μισοπόνηρος γενομένη τὴν πρᾶξιν,
τῶν προειρημένων μανίαν ἐνέσκηψεν· ὁ δὲ τῶν
φρονίμων λογισμῶν ἐκπεσών, ἑαυτὸν ἔρριψεν εἰς
ποταμὸν Ξηροβάτην, ὅθεν ἀπ᾽ αὐτοῦ Σάγαρις με-
τωνομάσθη. γεννᾶται δ᾽ ἐν αὐτῷ λίθος αὐτογλυ-
φὴς καλούμενος· εὑρίσκεται γάρ τις ὑπομένων
ἔχων τὴν μητέρα τῶν θεῶν· τοῦτον τὸν λίθον
ἐὰν εὕρῃ τις σπανίως ἀρισκόμενον, ἀποτεμνό-
μενος οὐ ξενίζεται, ἀλλ᾽ εὐψύχως φέρει τὴν πα-
ρὰ φύσιν πράξεως τῆς ὅτιν· καθὼς ἱστορεῖ Ἀγα-

ὄρη Ῥοδόπη καὶ Αἷμος

λίθος ἐν τοῖς ὄρεσι φιλάδελφοι

Σάγαρις

λίθος αὐτόγλυφος

ὄρος Βαλληναῖον: ρειάξης ἐν τοῖς Φρυγιακοῖς. Παράκειται δὲ
αὐτῷ ὄρος, Βαλληναῖον καλούμενον, ὅπερ ἐστὶ
μεθερμηνευόμενον βασιλικόν, τὴν προσηγο-
ρίαν ἔχον ἀπὸ Βαλληναίου τοῦ Γανυμήδους
καὶ Μηδησιγάστης παιδός. οὗτος γὰρ τὸν γεν-
νήσαντα θεασάμενος ἀποτηκόμενον, τοῖς ἐγ-
χωρίοις καὶ Βαλληναῖον ἑορτὴν κατέδειξεν μέ-

λίθος ἐν τῷ ὄρει ἀστήρ· χρι νῦν καλουμένην. γεννᾶται δὲ ἐν αὐτῷ λίθος
καλούμενος ἀστήρ. οὗτος φωτεινὸς μάλιστα καθ' ἑ-
σπέρας, πρὸς δίκην λαμπάδων, τοῦ φθινοπώρου τὴν
ἀρχὴν λαμβάνοντος. προσαγορεύεται δὲ τῇ διαλέ-
κτῳ τῶν ἐγχωρίων βαλλήν, ὅπερ μεθερμη-
νευόμενόν ἐστι βασιλεύς, καθὼς ἱστορεῖ Ἑρμη-
σιάναξ ὁ Κύπριος ἐν β' Φρυγιακῶν.

Σκάμανδρος ιγ' Σκάμαν-
δρος ποταμός ἐστι τῆς Τρωάδος, ἐκαλεῖτο δὲ πρό-
τερον Ξάνθος· μετωνομάσθη δὲ δι' αἰτίαν τοι-
αύτην. Σκάμανδρος, Κορύβαντος καὶ Δημοδί-
κης παῖς, τῶν τῆς Ῥέας μυστηρίων τελουμένων
ἀφνιδίως θεασάμενος, ἐμμανὴς ἐγένετο· καὶ
μεθορμηθεὶς ἐπὶ Ξάνθον τὸν ποταμὸν ἐνεχθεὶς
ἑαυτὸν ἀφ' οὗ τὸν ἐκάλεσεν, ὃς ἀπ' αὐτοῦ Σκάμανδρος

βοτάνη σεῖστρος· μετωνομάσθη. γεννᾶται δὲ ἐν αὐτῷ βοτάνη,
σεῖστρος καλουμένη, παρεμφερὴς ἐρεβίνθῳ,
κόκκους δὲ ἔχει σειομένους, ὅθεν τὴν προση-
γορίαν ἔλαβε ταύτην. οἱ κατέχοντες αὐτὴν οὔτε
φαντασίαν, οὔτε θεὸν ὀφθέντα φοβοῦνται, κα-
θὼς ἱστορεῖ Δημόστρατος ἐν β' περὶ ποταμῶν.

ὄρος Ἴδη· Παράκειται δ' αὐτῷ ὄρος, Ἴδη, τὸ πρότερον δὲ
ἐκαλεῖτο Γάργαρον, ὅπου Διὸς καὶ Μητρὸς θε-
ῶν βωμοὶ τυγχάνουσιν. Ἴδη δὲ μετωνομά-
σθη δι' αἰτίαν τοιαύτην. Αἰγέσθιος ὁ γεννη-
θεὶς ἐκ τοῦ Διοσφόρου, κόρην Ἴδην ἐρασθείς,
συνῆλθεν τῇ προσφιλημένῃ καὶ ἐγέννησεν ἐξ αὐ-

τῆς τοὺς προσφερομένους ἰδίους διαλυτικούς·
γενομένης δ' αὐτῆς ἄφρονος ἐκ τῶν τῆς ῥέας
ἀδύτων, ἀγγάθειος ἔσχε μὲν τὴν προσφερομένην·
τὸ ὄρος ἰδ[...] μετωνομάσθη· γεννᾶται δ' ἐν αὐ-
τῷ λίθος κρύφιος, ὃς μόνος τοῖς μυστηρί-
οις τῶν θεῶν φαίνεται, καθὼς ἱστορεῖ Ἡράκλει-
τος Σικυώνιος, ἐν β' περὶ λίθων: Τάναι-
ϊς ποταμὸς τῆς Σκυθίας· ἐκαλεῖτο δὲ
πρότερον Ἀμαζόνιος, διὰ τὸ τὰς Ἀμαζόνας
λούεσθαι ἐν αὐτῷ· μετωνομάσθη δὲ δι' αἰτίαν
τοιαύτην. Τάναϊς Βηρώσου καὶ Λυσίππης
μιᾶς τῶν Ἀμαζόνων παῖς, σωφρονέστατος
ὑπάρχων, τὸ γυναικεῖον γένος ἐμίσει μόνον
Ἄρη σεβόμενος· ἐν ἀτιμίᾳ δὲ εἶχεν καὶ τοὺς
γάμους· ἐπιθυμίαν αὐτῷ τῆς μητρὸς ἐνέβα-
λεν· ὁ δὲ κατ' ἀρχὰς μὲν ἀντεμάχετο τῷ πά-
θει· νικώμενος δὲ ὑπὸ τῆς ἀνάγκης τῶν
οἴστρων, καὶ εὐσεβὴς διαμεῖναι νομιζόμενος,
ἑαυτὸν ἔρριψεν εἰς τὸν Ἀμαζόνιον ποταμόν· ὃς
ἀπ' αὐτοῦ Τάναϊς μετωνομάσθη· γεννᾶται δὲ
ἐν αὐτῷ φυτὸν, ἀλίνδα καλούμενον, παρόμοιον
δὲ ἔχει τὰ φύλλα κράμβῃ· τοῦτο λεῖον τρίβον-
τες οἱ τὴν χώραν κατοικοῦντες, ἀλειφόμενοι τῷ
ζωμῷ καὶ θερμαινόμενοι, τὸ ψῦχος ἀρρώστως καρ-
τεροῦσιν· καλοῦσι δὲ τὴν σφῶν [illegible]
ροαστοῦ ἔλαιον· γεννᾶται δ' ἐν αὐτῷ καὶ λίθος,
κρυστάλλῳ παραπλήσιος, ὢν ἀνθρωπο[illegible]
ἐστεμμένος· ὅταν δὲ ἀποθάνῃ βασιλεύς, ἀρχαι-
ρεσίας παρὰ τὸν ποταμὸν τελοῦσιν· καὶ ὃς
ἂν εὕρῃ τὸν λίθον, ἐκεῖνος ἔχων, παραχρῆμα
βασιλεὺς γίνεται, καὶ τὰ σκῆπτρα παραλαμβά-
νει τοῦ τελευτήσαντος· καθὼς ἱστορεῖ Κτησιφῶν
ἐν γ' περὶ φυτῶν. μέμνηται δὲ τούτων καὶ ἀ-

λίθος κρύφιος

Τάναϊς

φυτὸν ἀλίνδα

λίθος κρυσταλλ[…] παραπλήσιος

ὄρος Βριξάβα

ριφώνυμος ἐν α' περὶ λίθων. παράκειται δὲ
αὐτῷ ὄρος· τῇ ἰδίᾳ καλεῖται ὑπὸ τῶν ἐνοικούντων
προσαγορευόμενον Βριξάβα, ὅπερ μεθερ-
μηνευόμενον Κριοῦ μέτωπον. ὠνομάσθη δὲ

αἰτία δι' ἣν τὸ Κριοῦ μέτωπον ἡ ἄκρα τῆς ἀρκτικῆς τοῦ Πόντου πλευρᾶς οὕτως καλεῖται

διὰ τοιαύτην αἰτίαν· Φρίξος ἀπο[...]
ρατὸν Ἄξενον πόντον Ἕλλην τὴν ἀδελφήν,
καὶ δὴ ἀπαλγήσας καὶ ἀπὸ τῆς φύσεως συγκεχυμέ-
νος, ἐν ταῖς ἀκρωρείαις λόφου τινὸς κατέκει-
σεν. βαρβάρων δέ τινων θεασαμένων αὐτὸν
καὶ μεθ' ὅπλων ἀνακαλούντων, ὁ χρυσόμαλλος
κριὸς προκύψας καὶ ἰδὼν τὸ πλῆθος τῶν ἐ-
περχομένων ἀνθρώπων, ἀνθρωπίνῃ φωνῇ χρησά-
μενος, διεγείρας τὸν Φρίξον ἀναπαυόμενον,
καὶ ἀναλαβὼν τὸν προειρημένον, μέχρι Κόλ-
χων ἔσωσεν· ὁ δὲ λόφος ἀπὸ τοῦ συμβε-
βηκότος, Κριοῦ μέτωπον προσηγορεύθη.

βοτάνη φρίξα ἐν τῷ ὄρει

γεννᾶται δὲ ἐν τῷ ὄρει ἣ ἰδίᾳ καλεῖται ὑπὸ τῶν
βαρβάρων φρίξα καλουμένη· ὅπερ μεθερ-
μηνευόμενον μισοπόνηρος. πηγάνῳ
δὲ ἐστι παρόμοιος· κἂν οἱ πρόγονοι κρατοῦν-
τες, οὐδὲν ὑπὸ μητρυιῶν ἀδικοῦνται· μάλι-
στα δὲ φύεται παρὰ Βορέου προσαγορευόμε-
νον ἄντρον· συλλεγομένη κατ' ἰδίαν ψυχροτέρα χι-
όνος· ὅταν δέ τινι ἐπιβουλεύωσι μητρυιαὶ τῶν
γένηται, φθόγγος ἀναδίδωσιν· καὶ τοὺς υἱοὺς σω-
ζομένους ἔχοντες, οἱ φονεύοντες τὰς ἐπιγεγε-
νημένας, ἐκκλίνουσι τῶν ἐπικειμένων
φόνων τὰς ἀνάγκας, καθὼς ἱστορεῖ Ἀγάθων

Θερμώδων ιε'

ὁ Σάμιος ἐν β' Σκυθικῶν: Θερμώδων πο-
ταμὸς ἀπὸ τοιαύτης αἰτίας τὴν προσηγορίαν εἴληφεν
ἀπὸ τοῦ συμβεβηκότος· ἐκαλεῖτο δὲ πρότε-
ρον Κρύσταλλος· ἐπειδὴ γὰρ καὶ θέρους πήγνυ-
ται, τῆς τοποθεσίας τὴν ἰδίαν διαγούσης·

– μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην·

Νεῖλος ις

Νεῖλος ποταμός ἐστι τῆς Αἰγύπτου, κατὰ τὴν
Ἀλεξάνδρειαν· ἐκαλεῖτο δὲ τὸ πρότερον Μέ-
λας, ἀπὸ Μέλανος τοῦ Ποσειδῶνος· ὕστερον δὲ
Αἴγυπτος ἐκλήθη, δι' αἰτίαν τοιαύτην· Αἰγυ-
πτος Ἡφαίστου καὶ Λευκίππης παῖς, καὶ βασι-
λεὺς ἦρχε τῶν τόπων· δι' ἐμφυλίου δὲ πολέ-
μου, μὴ ἀναβαίνοντος τοῦ Νείλου, καὶ λιμῷ συ-
νεχομένων τῶν ἐγχωρίων, ἔχρησεν ὁ Πύθι-
ος τὴν ἀφορίαν, ἐὰν ὁ βασιλεὺς ἀποτρόπαιον
θεοῖς τὴν θυγατέρα θύσῃ· θλιβόμενος δὲ
ὑπὸ τῶν κακῶν ὁ τύραννος, τοῖς βωμοῖς Ἀγα-
νίππην προσήγαγεν· τῆς δὲ διαπραχθείσης, ὁ
Αἴγυπτος δι' ὑπερβολὴν τῆς λύπης, ἑαυτὸν ἐνέ-
ρριψεν εἰς ποταμὸν Μέλανα, ὃς ἀπ' αὐτοῦ Αἰγυ-
πτος μετωνομάσθη· προσηγορεύθη δὲ Νεῖλος,
δι' αἰτίαν τοιαύτην· Γαρμαθώνη τῶν κατ' Αἰγυ-
πτον βασίλισσα τῶν τόπων, ἀποβαλοῦσα τὸν
υἱὸν αὐτῆς Χρυσοχόαν ἀκμὴν ἐφήλικον, μετὰ τῶν
οἰκετῶν ἐθρήνει συμπαθῶς τὸν προειρημένον· Ἴ-
σιδος δὲ ἀφνιδίως ἐπιφανείσης, τὴν λύπην
πρὸς καιρὸν ὑπερέθετο· καὶ προσποιησαμένη χα-
ρὶν ἐκδεξαμένη, τὴν θεὸν ὑπεδέξατο φιλο-
φρόνως· ἡ δὲ τὴν διάθεσιν τούτων ἀμείψα-
σθαι βουλομένη τῆς ξενίας, Ὄσιριν παρε-
κάλεσεν, ὅπως ἂν ἀναγάγῃ τὸν υἱὸν αὐτῆς ἐκ τῶν
καταχθονίων τόπων· τούτου δὲ ταῖς δεήσε-
σιν τῆς γυναικὸς συμπεριενεχθέντος, Κέρβε-
ρος ὃν ἔνιοι καλοῦσιν Φοβερόν, ὑλάκτησεν· Νεῖλος
δὲ τῆς Γαρμαθώνης ἀνήρ, αἰφνιδίως ἔνθεος
γενόμενος, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν καλού-
μενον Αἴγυπτον, ὃς ἀπ' αὐτοῦ Νεῖλος μετωνομάσθη.

λίθος κυάμῳ παρόμοιος

γεννᾶται δὲ ἐν αὐτῷ λίθος κυάμῳ παρόμοιος, ὃν
ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσιν· ποιεῖ δὲ πρὸς

τοὺς δαιμονιζομένους· ἅμα γὰρ προστεθῆναι
ταῖς ῥισὶν, ἀπέρχεται τὸ δαιμόνιον. γεννῶνται
δὲ καὶ ἄλλοι λίθοι κολλῶται καλούμενοι· τούτους
κατὰ τὴν ἀνάβασιν τοῦ Νείλου, συλλέγουσαι χε-
λιδόνες, κατασκευάζουσι τὸ προσαγορευόμε-
νον χελιδόνιον τεῖχος, ὅπερ ἐπέχει τοῦ ὕδατος
τὸν ῥοῖζον, καὶ οὐκ ἐᾷ κατακλυσμῷ φθαρῆναι
τὴν χώραν· καθὼς ἱστορεῖ Θράσυλλος ἐν τοῖς
Αἰγυπτιακοῖς. Παράκειται δὲ αὐτῷ ὄρος, Ἀρ-
γιλλον καλούμενον ἀπ' αἰτίας τοιαύτης· Ζεὺς
δι' ἔρωτα κλεπτικὴν ἐπιθυμίαν, ἐκ Λύκτου πόλεως
Κρήτης Ἀργὴν νύμφην ἁρπάσας, ἀπήνεγ-
κεν εἰς ὄρος τῆς Αἰγύπτου Ἀργιλλον καλούμε-
νον· καὶ ἐγέννησεν ἐξ αὐτῆς υἱὸν, καλούμενον
Διόνυσον· ὃς ἀκμάσας, εἰς τιμὴν τῆς μητρὸς·
τὸ μὲν ὄρος Ἀργιλλον μετωνόμασεν· στρατολογή-
σας δὲ Πᾶνας καὶ Σατύρους, ἰδίοις σκήπτροις
Ἰνδοὺς ὑπέταξεν· κτήσας δὲ καὶ Ἰβηρίαν,
Πᾶνα κατέλιπεν ἐπιμελητὴν τῶν τόπων· ὃς
τὴν χώραν ἀπ' αὐτοῦ, Πανίαν μετωνόμασεν· ἣν
οἱ μεταγενέστεροι παραγωγῶς, Σπανίαν προση-
γόρευσαν· καθὼς ἱστορεῖ Σωσθένης ἐν ιγ' Ἰβη-
ρικῶν:

ιζ' Εὐρώτας Ἱμέρος· Ταϋγέτης νύμ-
φης καὶ Λακεδαίμονος παῖς, διὰ μῆνιν Ἀφρο-
δίτης κατὰ ἄγνοιαν ἐν παννυχίδι τὴν ἀδελφὴν
Κλεοδίκην βιασάμενος, ἔφθειρεν· τῇ δὲ ἐπιού-
σῃ τῶν ἡμερῶν, κατηχηθεὶς περὶ τῶν γεγο-
νότων καὶ ἀθυμήσας, διὰ λύπης ὑπερ-
βολὴν, ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν Μαραθῶ-
να, ὃς ἀπ' αὐτοῦ, Ἱμέρος μετωνομάσθη· ὕστε-
ρον δὲ Εὐρώτας ἐκλήθη, δι' αἰτίαν τοιαύτην·
Λακεδαιμονίων πρὸς Ἀθηναίους πόλεμον
ἐχόντων, καὶ τὴν πανσέληνον περιμενόντων·

ὄρος Ἀργιλλον

ἡ ποθὲν τῇ Ἰσπανίᾳ χώρᾳ τοὔνομα:

Εὐρώτας

ἐρώτας ὁ τῶν προειρημένων στρατηγὸς κατα-
φρονήσας τῆς διοσημείας, συνέμιξε
τὴν παράταξιν, καὶ ὑβρισθεὶς ἀστραπῶν τε καὶ
κεραυνῶν κωλυόμενος· ἀποβαλὼν δὲ τὸ στρά-
τευμα καὶ περιλύπου σχεθεὶς, ἑαυτὸν ἔρριψεν
εἰς τὸν ποταμὸν τὸν Ἵμερον, ὃς ἀπ' αὐτοῦ Εὐρώτας

λίθος θρασύδειλος. περικεφαλαίᾳ παρόμοιος·	μετωνομάσθη. γεννᾶται δὲ ἐν αὐτῷ λίθος, πε- ρικεφαλαίᾳ παρόμοιος, θρασύδειλος προσα- γορευόμενος· ἅμα γὰρ σάλπιγγος ἀκούσῃ, ἐπὶ τὴν ὄχθαν προχωρεῖ· τῶν δ' Ἀθηναίων ὀνομασθέν- των, καὶ εἰς τὸν βυθὸν ἅλλεται· κεῖνται δὲ πολλοὶ καθιερωθέντες ἐν τῷ ναῷ τῆς Χαλκιοίκου Ἀ- θηνᾶς, καθὼς ἱστορεῖ Νικάνωρ ὁ Σάμιος ἐν β΄.
ὄρος Ταΰγετον	Παράκειται δὲ αὐτῷ ὄρος Ταΰ- γετον, προσονομαζόμενον τὴν προσηγορίαν ἐκ(?) ... ἀπὸ Ταϋγέτης τῆς νύμφης, ἣν Ζεὺς βιασάμενος· ἐκείνη δὲ περιλύπου σχεθεῖσα ... παρεγράψεν, ἐν ἀκρω- ρείαις ὄρους Ἀμυκλαίου, ὅπερ ἀπ' αὐτῆς Ταΰγετον
βοτάνη γεννᾶται ἐν τῷ ὄρει χαρίσιος·	προσωνομάσθη. γεννᾶται δὲ ἐν αὐτῷ βοτάνη, καλουμένη χαρίσιον, ἣν γυναῖκες ἔαρος ἀρχο- μένου τοῖς τραχήλοις περιάπτουσιν, καὶ ὑ- πὸ τῶν ἀνδρῶν συμπαθέστερον (ἀγαπῶν) φιλοῦνται, καθὼς ἱσ- τορεῖ Κλεάνθης ἐν α΄ περὶ ὀρῶν. μέμνηται δὲ τούτων ἀκριβέστερον, Σωσθένης ὁ Κνίδιος, παρ' οὗ τὴν ὑπόθεσιν εἴληφεν Ἑρμογένης:
Ἴναχος ιη΄ Καρμάνωρ	Ἴναχος ποταμός ἐστι τῆς Ἀργείας χώρας, ἐκα- λεῖτο δὲ τὸ πρότερον Ἁλιάκμων· (δὲ) τῷ γένει Τιρύν- θιος ὢν ἐν τῷ Κοκκυγίῳ ποιμαίνων ὄρει, καὶ κατ' ἄγνοιαν τὴν Ῥέας συγγινόμενος τὸν Δία θεασάμενος, ἐμμανὴς ἐγένετο· καὶ μεθ' ὁρμῆς ἐνεχθείς, ἐνέβαλεν ἑαυτὸν εἰς ποταμὸν Καρ- μάνορα, ὃς ἀπ' αὐτοῦ Ἁλιάκμων μετωνομάσθη·

προσηγορεύθη δὲ Ἴναχος, δι' αἰτίαν τοιαύτην·
Ἴναχος ὁ Ὠκεανοῦ παῖς, φθαρείσης τῆς θυγα-
τρὸς αὐτοῦ Ἰοῦς ὑπὸ Διός, τὸν θεὸν κακῶς ἐβλασφήμει·
λοιδορίαις ἐπεξήλεγχεν, καὶ κατόπιν ἀκολουθῶν·
ὁ δὲ ἀγανακτήσας, ἐπέμψεν αὐτῷ Τισιφό-
νην μίαν τῶν ἐριννύων, ἀφ' ἧς ἐξοιστρηλατούμε-
νος, ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν Ἁλιάκμονα, ὃς
ἀπ' αὐτοῦ Ἴναχος μετωνομάσθη. γεννᾶται δ' ἐν αὐ-
τῷ βοτάνη κύουρα καλουμένη, πηγάνῳ παρό-
μοιος, ἣν αἱ γυναῖκες ὅταν [illegible] ἐπιτρῶ-
σαι θέλουσιν, ἐν οἴνῳ κεράσασαι, τοῖς
ὀμφαλοῖς ἐπιτιθέασιν. εὑρίσκεται δ' ἐν αὐτῷ καὶ
λίθος βηρύλλῳ παρόμοιος, ὃν ἐὰν κρατῶσιν
οἱ ψευδομαρτυροῦντες, μέλας γίνεται·
κεῖνται δὲ πολλοὶ ἐν τῷ τεμένει τῆς Προσυμναί-
ας Ἥρας, καθὼς ἱστορεῖ Τιμόθεος ἐν τοῖς Ἀργο-
λικοῖς. μέμνηται δὲ τούτων καὶ Ἀγαθώνυ-
μος, ἐν β΄ περὶ ποταμῶν. Ἀγαθοκλῆς δὲ ὁ Μιλή-
σιος ἐν τοῖς περὶ ποταμῶν, φησὶ τὸν Ἴναχον
διὰ πανουργίαν ὑπὸ τοῦ Διὸς κεραυνωθέντα,
ξηρὸν γενέσθαι· παράκειται δ' αὐτῷ ὄρη, Μυκή-
ναι τε, καὶ Ἀπαίσαντος, καὶ Κοκκύγιον, καὶ Ἀθή-
ναιον τὰς προσηγορίας ἔχοντα δι' αἰτίας τοι-
αύτην· Ἀπαίσαντον μὲν ἀπὸ Ἀπαίσαντος, ἐκαλεῖτο πρό-
τερον Σεληναῖον· Ἥρα γὰρ παρ' Ἡρακλέους δίκας
βουλομένη, [illegible], συνεργὸν παρεκάλεσε τὴν
Σελήνην· ἡ δὲ ἐπῳδαῖς χρησαμένη, μάκτρας ἀ-
φροῦ κίστην ἐπλήρωσεν, ἐξ ἧς γεννηθεὶς λέ-
ων μέγιστος, Ἶριν ταῖς ἰδίαις ζώναις ἐσφίγ-
ξασα, κατήνεγκεν εἰς τὸ ὄρος Ὀφέλτιον· ὁ δὲ ποιμέ-
να τινὰ τῶν ἐγχωρίων Ἀπαίσαντα σπαράξας,
ἀνεῖλεν· κατὰ δὲ θεῶν πρόνοιαν τὸ ὄρος, Ἀπαί-
σαντος ἀπ' αὐτοῦ μετωνομάσθη, καθὼς ἱστορεῖ Δη-

βοτάνη κύδρα

ση(μείωσαι)

λίθος βηρύλλῳ παρόμοιος

ὄρη

ὄρος Ἀπαίσαντο(ς)

βοτάνη ἐν τῷ ἀπαισάντῳ ὄρει σελήνη

μέλλοντος ἐν ᾱ Ἡρακλείας. γεννᾶται δ' ἐν αὐτῷ
βοτάνη σελήνη καλουμένη· ταύτης δὲ καταφερό-
μενον ἀπ' αὐτῆς ἀφρὸν περὶ τὴν ἀρχὴν τοῦ θέ-
ρους οἱ ποιμένες ἀγρονόμοι ἀλείφουσι τοὺς πό-

ὄρος μυκῆναι

δας, καὶ οὐδὲν ὑπὸ τῶν ἑρπετῶν ἀδικοῦνται· μυ-
κῆναι δὲ ἐκαλοῦντο τὸ πρότερον ἄργιον, ἀπὸ
ἄργου τοῦ πανόπτου· μετωνομάσθη δὲ μυκῆ-
ναι δι' αἰτίαν τοιαύτην· περσέως μέδουσαν ἀ-
ποκτείναντος, σθεννὼ καὶ εὐρυάλη τὴν προειρη-
μένην ἀδελφὴν αὐτῆς πεφονευμένην τὸν ἐ-
πικουρον ἐπεδίωκον· γενόμεναι δὲ κατ' αὐ-
τὸν τὸν λόφον, καὶ ἀπελπίσασαι τῆς συλλή-
ψεως, διὰ τὴν συμπάθειαν μυκηθμὸν ἀνεβεβλη-
κεν· οἱ δὲ ἐγχώριοι τὴν ἀκρώρειαν ἀπὸ τοῦ συγκυ-
ρήματος μυκήνας μετωνόμασαν, καθὼς ἱστορεῖ Κτη-

ἄλλως

σίας Ἐφέσιος ἐν ᾱ Περσηΐδος· Χρύσερμος δὲ ὁ
Κορίνθιος ἐν ᾱ Πελοποννησιακῶν ἱστορίας μέμνη-
ται τοιαύτης· περσέως φερομένου μετεώρου,
καὶ κατὰ τὸν λόφον γενομένου τούτου, ἐξέπεσεν
αὐτοῦ τῆς ÷ ÷ καυλῆς τοῦ ξίφους ὁ μύκης· γοργοφό-
νος δὲ ὁ βασιλεὺς ἐπιδαυρίων ἐκπεσὼν τῆς
ἀρχῆς, ἔλαβε χρησμὸν ἐπιπεριελθόντα τὰς ἀρ-
γολικὰς πόλεις, ὅπου ἂν εὕρῃ ξίφους μύκητα,
ἐκεῖ κτίσαι πόλιν· γενόμενος δὲ κατὰ τὸ ἄργιον
ὄρος, καὶ εὑρὼν τὴν ἐλεφαντίνην καυλὴν, πόλιν
ἔκτισεν, ἣν ἀπὸ τοῦ συγκυρήματος προσηγόρευ-

λίθος κορύβας ἐν μυκήναις τῷ ὄρει

σεν μυκήνας. γεννᾶται δ' ἐν αὐτῷ λίθος κορύβας
καλούμενος, τῇ χρόᾳ κοραζοειδής· ὃν ἐὰν ἄρῃς καὶ ἔχῃς
ἐν τῷ σώματι περικείμενον, κατ' οὐδὲν ἐκφοβηθήσῃ
τεράτων. [illegible] τοῦ ἀκρισίου·
κωλυθεὶς γὰρ κατέλαβε τὸν τόπον, καὶ ἀπαιτή-
σας [illegible] δικαστήριον, ἐξ [illegible] ὁ δὲ [illegible]
[illegible] τὸν ἴδιον [illegible] ἀναιρήσαντος μετονομ[illegible]

μασθὲν καλούμενον σεληνούντιον· ὄρος δὲ Κοκκύ-
γιον ὠνομάσθη, δι' αἰτίαν τοιαύτην· Ζεὺς Ἥρας
τῆς ἀδελφῆς ἐρασθεὶς, καὶ δυσωπούμενος
τὴν ἀγαπωμένην, ἐγέννησεν ἐξ αὐτῆς Ἄρεα·
τὸ γοῦν καλούμενον ὄρος Δευκίτιον, ἀπὸ τοῦ
συγκυρήματος, Κοκκύγιον ὠνομάσθη· καθὼς
ἱστορεῖ Ἀγαθώνυμος ἐν Περσηΐδι. φύεται δὲ ἐν
αὐτῷ δένδρον, παλίνουρος καλούμενον· ἐφ' οὗ
ἄν τι καθίσῃ τῶν ἀλόγων ζώων, ὡς ὑπὸ ἰξοῦ κα-
τέχεται· πάρεξ κόκκυγος· τούτου γὰρ φείδεται· κα-
θὼς Κτησιφῶν ἐν α΄ περὶ δένδρων. Ἀθηναῖ-
ον δὲ ὄρος ἔσχεν τὴν προσηγορίαν, ἀπὸ Ἀθη-
νᾶς· μετὰ γὰρ τὴν τοῦ Ἰλίου πόρθησιν, Διομήδης
εἰς Ἄργος ὑποστρέψας, τὸν Κεραύνιον ἀνεῦ-
λόφον· καὶ τέμενος Ἀθηνᾶς κατασκευάσας, τὸ
ὄρος ἀπὸ τῆς θεᾶς Ἀθήναιον μετωνόμασεν·
γεννῶνται δὲ ἐν τῇ ἀκρωρείᾳ ῥίζαι, παρόμοιος τῷ πη-
γάνῳ· ἣν ἐὰν γυνὴ φάγῃ τις κατ' ἄγνοιαν, ἐμ-
μανὴς γίνεται· καλεῖται δὲ ἀδράστεια, καθὼς ἱσ-
τορεῖ Πλησίμαχος ἐν β΄ νόστων:

ιθ΄

Ἀλφειὸς, ποτα-
μός ἐστι τῆς Ἀρκαδίας, κατὰ Πῖσαν τῆς Ὀλυμπίας·
ἐκαλεῖτο δὲ τὸ πρότερον Στύμφηλος, ἀπὸ Στυμφή-
λου τοῦ Ἄρεως καὶ Δορμοθέας παιδός· οὗτος γὰρ
τὸν φίλιππον τὸν υἱὸν Ἀλκμαίονα ἀπολέσας, καὶ
ἀθυμίας συσχεθεὶς, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Νυ-
κτίμον, ὃς καὶ ἀπ' αὐτοῦ Στύμφηλος μετωνομά-
σθη. Ἀλφειὸς δὲ ἐκλήθη, δι' αἰτίαν τοιαύτην·
Ἀλφειὸς εἷς τὸ γένος τῶν ἀφ' Ἡλίου καταγομένων,
ἀμιλληθεὶς Κερκάφῳ τῷ ἀδελφῷ περὶ ἀρχῆς,
ἀνεῖλεν τὸν ἐστερημένον· καὶ ὑπὸ ποινῶν ἐλαυνό-
μενος, ἐνέβαλεν ἑαυτὸν εἰς ποταμὸν Νυκτίμον, ὃς
καὶ ἀπ' αὐτοῦ Ἀλφειὸς μετωνομάσθη. γεννᾶται
δ' ἐν τῷ ποταμῷ τούτῳ βοτάνη, κεγχρῖτις προ-

Ὄρος Κοκκύγιον.

Δένδρον ἐν αὐτῷ παλίνουρος.

Ῥίζα παρόμοιος πηγάνῳ:

Ἀλφειός

Βοτάνη κεγχρῖτις:

συναγοραζομένη μετὰ κηροῦ παρόμοιος κηρῷ ὄψια
τροὶ καθεζόμενοι· πιοῦσι δ' ἰδίως τοῖς ἀποπληκ-
τρίως μένοις ἔχουσι τὰς φρένας καὶ ἀπαλλάτ-
τουσιν αὐτοὺς τῆς μανίας· καθὼς ἱστορεῖ Κτη-
σίας ἐν α' περὶ ποταμῶν. Παράκειται δὲ ὄρος
Κρόνιον καλούμενον ἀπὸ αἰτίας τοιαύτης· με-
τὰ τὴν γιγαντομαχίαν Κρόνος τὰς Διὸς ἀπει-
λὰς ἐκκλίνων, τὸ ὄρος παρεγένετο Κουρούνιον· ὃ
ἀπ' αὐτοῦ Κρόνιον μετωνομάσθη· καθ' ὃν δὲ προσ-
ὀλίγον καιρὸν καὶ ἀφορμῆς δραξάμενος Δι-
κρεμάσας καὶ κλάσας τῆς συνηθείας. Γεννᾶται
δὲ ἐν τῷ ὄρει ÷ τούτῳ κύλινδρος καλούμενος
λίθος, ἀπὸ τοῦ συγκυρήματος· ὁσάκις γὰρ ἂν
φράττῃ Ζεὺς κεραυνόν(?), τοσαυτάκις ἀπὸ τῆς
ἀκρωρείας διὰ φόβον κυλίεται· καθὼς ἱστορεῖ Δερ-
κύλλος ἐν α' περὶ λίθων. Εὐφράτης ποτα-
μός ἐστι τῆς Παρθίας κατὰ Βαβυλῶνα πόλιν·
ἐκαλεῖτο δὲ τὸ πρότερον Μῆδος, ἀπὸ Μήδου τοῦ
Ἀρταξέρξου παιδός· οὗτος γὰρ δι' ἐπιθυμίαν ἀφρ-(?)
Κορδύου θυγατέρα βιασάμενος Ῥοξάνην, δι-
εφθάρη· τῇ δ' ἐπιούσῃ τῶν κινδύνων ζητούμε-
νος ὑπὸ τοῦ βασιλέως πρὸς κόλασιν, καὶ φοβού-
μενος σχεθῆναι(?), ἑαυτὸν ἐνέβαλεν εἰς ποταμὸν Ζαράν-
δαν, ὃς ἀπ' αὐτοῦ Μῆδος ὠνομάσθη. Προσηγο-
ρεύθη δὲ Εὐφράτης δι' αἰτίαν τοιαύτην· Εὐφρά-
της Ἀρανδάκου παῖς, τὸν υἱὸν Ἀξούρταν καταλαβὼν
μετὰ τῆς μητρὸς ἀναπαυόμενον, καὶ ὑπολαβὼν
ὑπάρχειν τῶν πολιτῶν τινα, διὰ ζηλοτυπίαν(?) μισοπο-
νηρίαν σπασάμενος τὸ ξίφος, ἐξαίφνης κατέκτειν-(?)
αὐτόν· τῆς δ' ἀνεπανορθώτου πράξεως γενόμε-
νος αἴτιος, διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἐνέβα-
λεν εἰς ποταμὸν Μῆδον· ὃς ἀπ' αὐτοῦ Εὐφράτης
μετωνομάσθη· γεννᾶται δ' ἐν αὐτῷ λίθος ἀετίτης

Margin notes: ὄρος Κρόνιον — λίθος κύλινδρος ἐν τῷ ὄρει — Εὐφράτης — λίθος ἀετίτης

καλούμενος, ὃν μάλιστα ταῖς δυστοκούσαις ἐπὶ
τὰς γαστέρας ἐπιτιθέασιν, καὶ παραχρῆμα τί-
κτουσιν ἄτερ ἀλγηδόνος. γεννᾶται δὲ ἐν αὐ-
τῷ καὶ βοτάνη, ἐξάλλα καλουμένη, μεθερμη-
νευομένη θερμόν· ταύτην οἱ τεταρταΐζοντες
ὅταν ἐπὶ τοῦ στήθους θῶσιν, ἀπαλλάττονται
παραχρῆμα τῆς ἐπισημασίας· καθὼς ἱστορεῖ Χρύ-
σερμος Κορίνθιος, ἐν ιγ΄ περὶ ποταμῶν. παρά-
κειται δ' αὐτῷ ὄρος, Δρίμυλλον καλούμενον, ἐν ᾧ
γεννᾶται λίθος, σαρδόνυχι παρόμοιος, ὃν οἱ βα-
σιλεῖς, ἐν ταῖς κατασταῖς χρῶνται· ποιεῖ δὲ ἄριστα
πρὸς ἀμβλυωπίαν, τοῖς ὕδωρ θερμὸν καλλόμε-
νος· καθὼς ἱστορεῖ Νικίας ὁ Μαλλώτης, ἐν τοῖς
περὶ λίθων:

ΚΑ΄ Κάϊκος ποταμός τῆς Μυσί-
ας· ἐκαλεῖτο δὲ τὸ πρότερον Ἀστραῖος· ἀπὸ Ἀστραί-
ου τοῦ Ποσειδῶνος. οὗτος γὰρ παννυχίδος ἀ-
θηνᾶς τελουμένης, Ἀλκίππην τὴν ἀδελφὴν
κατ' ἄγνοιαν βιασάμενος, ἔφθειρεν. καὶ ἀφ' ἧς
λαβόντος τῆς προσφερομένης τὸν δακτύλιον· τῇ δὲ
ἐπιούσῃ τῶν ἡμερῶν ἐπιγνοὺς τὴν σφραγῖδα
τῆς ὁμαίμου, διὰ λύπην ὑπερβολὴν ἑαυτὸν
εἰς τὸν ποταμὸν Ἀδουρον, ὃς ἀπ' αὐτοῦ Ἀστραῖος με-
τωνομάσθη· προσηγορεύθη δὲ Κάϊκος δι' αἰ-
τίαν τοιαύτην· Κάϊκος, Ἑρμοῦ καὶ Ὠκυρόης παῖς,
νυμφῆς Τίμανδρον ἕνα τῶν ἀξιωτέρων φονεύσας,
καὶ τοὺς προσήκοντας αὐτῷ φοβούμενος, ἑαυ-
τὸν ἔρριψεν εἰς τὸν Ἀστραῖον, ὃς ἀπ' αὐτοῦ Κάϊκος
μετωνομάσθη. γεννᾶται δ' ἐν τῷ ποταμῷ μήκων
ἔχων ἀντὶ καρποῦ λίθων ἐν τούτων μελάναν τι-
να τυγχάνει, παρόμοια κύροις ἀποβρήγμασι τρί-
σιν· ζωτρὸς τρισμένην χώραν καὶ ἐν μὲν ἀφορίᾳ μέ-
λλειν γίνεσθαι, μένει τῷ τότε τοῦ κινηθῆναι· ἐὰν δὲ εὐκαρ-
πίαν δηλοῖ μὲν, τὰ λιθάρια διηκονεῖ ἀλέριδα ἀπαλλάττει:

ΒΟΤΑΝΗ ΜΕΞΑΛΛΑ:

ὌΡΟΣ ΔΡΙΜΥΛΛΟΝ

ΛΙΘΟΣ ἘΝ ΤΩ͂ ὌΡΕΙ ΣΑΡΔΩ͂ΝΥΧΙ ΠΑΡΟΜΟΙΟΣ:

ΚΑΪΚΟΣ

ΒΟΤΑΝΗ ΜΗΚΩΝ

βοτάνη φαρμακος — φύεται δὲ καὶ βοτάνη, φαρμάκιος καλουμένη·
ἣν οἱ ἰατροὶ ταῖς αἱμορροούσαις ἐπιτιθέασιν, καὶ
τῶν μεθ' ἑλκῶν μαστῶν χαλῶσι τὴν ἔκκρισιν
καθὼς ἱστορεῖ Τιμαγόρας ἐν α' περὶ ποταμῶν.

ὄρος Τεύθρας — Παράκειται δ' αὐτῷ ὄρος Τεύθρας, ἀπὸ Τεύ-
θραντος τοῦ Μυσῶν βασιλέως, ὃς κυνηγεσί-
ας χάριν εἰς τὸ Θράσυλλον ὄρος ἀναβάς, καὶ θεα-
σάμενος ὑπερμεγέθη κάπρον, ἐδίωκε σὺν
τοῖς μεθ' αὐτοῦ δορυφόροις· ὁ δὲ φθάσας, κατέ-
φυγεν ὡς ἱκέτης εἰς τὸ τῆς Ὀρθωσίας Ἀρτέ-
μιδος ἱερόν· βιαζομένων δὲ πάντων εἰς τὸν
ναὸν εἰσελθεῖν, ὁ σῦς ἀνθρωπίνην φωνὴν κεχρη-
σάμενος, ἐξαίσιον ἀνέκραγεν· φεῖσαι ἄνα-
ξ τοῦ θρέμματος τῆς θεᾶς· μετεωρισθεὶς
δὲ Τεύθρας, ἀνεῖλεν τὸ ζῷον· Ἄρτεμις δὲ μι-
σοπονήρως ἐνεγκοῦσα τὴν πρᾶξιν, τὸν μὲν
κάπρον ἀνεζωπύρησεν· τῷ δὲ παραιτίῳ τοῦ
συγκυρήματος, ἀλφὸν μετὰ μανίας ἐπέπεμψεν·
δυσωπούμενος δὲ τὸ πάθος, ἐν ταῖς ἀκρωρεί-
αις διέτριβεν· Λυσίππη δὲ τοῦ προειρημένου
μήτηρ, κατηχηθεῖσα περὶ τῶν συμβεβηκό-
των, εἰς τὴν ὕλην ἔδραμεν, συνεπομένη μάν-
τιν τὸν Κοιράνου Πολύιδον παροῦσαν πολυ-
πραγμονήσασα τὴν ἀλήθειαν, καὶ θυσίαις τῆς
θεᾶς ἐξιλάσατο τὴν μισοπονηρίαν· καὶ ἀπολα-
βοῦσα τὸν υἱὸν σωφρονοῦντα, βωμὸν ἱδρύσα-
το Ἀρτέμιδος Ὀρθωσίας· κατασκευάσασα δὲ καὶ
κάπρον χρυσοῦν, προτομὴν ἀνθρώπου ἐχέμε-
νον· οὗτος μέχρι νῦν διωκόμενος ὑπὸ κυνηγῶν
εἰσελθὼν εἰς τὸν ναόν, φωνὴν ἀναδίδωσιν ἱκέτου·
Τεύθρας δὲ παρ' ἐλπίδα τὴν ἀρχαίαν αὐτοῦ μορφὴν

λίθος ἀντιπαθὴς ἐν τῷ ὄρει: — ἀναλαβών, τὸ ὄρος μετωνόμασεν Τεύθραντα· γεν-
νᾶται δὲ ἐν αὐτῷ λίθος, ἀντιπαθὴς καλούμενος, ὃς

καὶ ἐμμανοποιεῖ πρὸς ἀλφοὺς καὶ λέπρους, διὸ ...νου
τριωόμενος· καθὼς ἱστορεῖ Κτησίας Κνίδιος ἐν
β' περὶ ὀρῶν:

Ἀχελῷος

κβ'

Ἀχελῷος ποταμός ἐστι τῆς
Αἰτωλίας· ἐκαλεῖτο δὲ πρότερον Θέστιος, διὰ τὴν αἰτί-
αν τοιαύτην. Θέστιος Ἄρεως καὶ Πεισιδίκης
παῖς, διά τινα περίστασιν ἰδίαν ἀποδημή-
σας εἰς Σικυῶνα, καὶ ἱκανὸν χρόνον διατρίψας,
ὑπέστρεψεν εἰς τὸ πατρῷον ἔδαφος. εὑρὼν δὲ
τὸν υἱὸν Καλυδῶνα μετὰ τῆς μητρὸς ἀνα-
παυόμενον καὶ μοιχὸν εἶναι δόξας, κατ' ἄγνοι-
αν ἐτεκνοκτόνησεν. τῆς δὲ ἀνεγνωκὼς τοῦ πρά-
ξεως αὐτόχειρ γενόμενος, ἑαυτὸν ἔρριψεν εἰς τὸν πο-
ταμὸν Ἄξενον, ὃς ἀπ' αὐτοῦ Θέστιος μετωνομάσθη.
προσηγορεύθη δὲ Ἀχελῷος ἀπὸ τοιαύτης αἰ-
τίας. Ἀχελῷος Ὠκεανοῦ καὶ Ναΐδος νύμφης παῖς,
τῇ θυγατρὶ Κλησορίᾳ κατ' ἄγνοιαν συνερχόμε-
νος, καὶ ἀθυμίᾳ συσχεθείς, ἑαυτὸν ἐνέβαλεν εἰς τὸν πο-
ταμὸν Θέστιον, ὃς ἀπ' αὐτοῦ Ἀχελῷος μετωνομά-
σθη. γεννᾶται δὲ ἐν τῷ ποταμῷ τούτῳ βοτά-
νη, ζάκλον καλουμένη, παρόμοιον ἐρίῳ· ταύτην
τρίψας ἄν τις εἰς οἶνον καθαρόν, ὀργίζεται, καὶ τὴν
μένος ... ἔχει· τὴν δὲ διάμνημον οὐκ ἔχει. εὑρί-
σκεται δὲ καὶ λίθος πελιδνὸς τῷ χρώματι, λινουρ-
γὸς καλούμενος, ἀπὸ τοῦ συγκυρήματος· ἐὰν
γὰρ ῥάκος αὐτῷ στοιβάσῃς, διάβρωτος ἐν
σχήματι χαμαί ..., καὶ ἀργυροῦν γίνεται· καθὼς ἱστο-
ρεῖ Ἀντισθένης ἐν γ' Μελεαγρίδος. κεῖται δὲ
τούτῳ ἀκριβέστερον Διοκλῆς ὁ Ῥόδιος ἐν τοῖς
Αἰτωλικοῖς. παράκειται δὲ αὐτῷ ὄρος, Καλυδὼν
καλούμενον, τὴν προσηγορίαν εἰληφὸς ἀπὸ
Καλυδῶνος τοῦ Ἄρεως καὶ Ἀστυνόμης παιδός. οὗτος
γὰρ κατὰ ἄγνοιαν λουομένην ἰδὼν Ἄρτεμιν,
τὴν μορφὴν τοῦ σώματος μετέβαλεν εἰς πέτραν·

Ἀχελῷος
βοτάνη ζάκλον
σημ(είωσαι) παράδοξον
λίθος λινουργός
ὄρος Καλυδών

κατὰ δὲ πρόνοιαν θεῶν τὸ ὄρος καλούμενον γύ-
βοτάνη μύωψ ἐν τῷ ὄρει: — ρον, ἀπ' αὐτοῦ καλυδὼν μετωνομάσθη· γεννᾶται
δὲ ἐν αὐτῷ βοτάνη, μύωψ προσαγορευομένη·
ἣν ἐάν τις εἰς ὕδωρ κάζων ἐννίψηται τὸ πρόσωπον,
ἀποκαμμύει τὴν ὅρασιν· ἀρτέμιν δὲ ἐξιλασάμενος,
ἀναλαμβάνει τὸ φῶς· καθὼς ἱστορεῖ δερκύλλος
ἀράξης κγ' — ἐν γ' αἰτωλικῶν:

ἀράξης ποταμός ἐστι τῆς
ἀρμενίας· τὴν προσηγορίαν εἴληφεν ἀπὸ ἀ-
ράξου τοῦ πύλου· οὗτος γὰρ πρὸς ἄρβηλον τὸν
πάππον, ὑπὲρ σκήπτρων ἁμιλλώμενος αὐτὸν κα-
τετόξευσεν· ποινηλατούμενος δὲ ὑπὸ ἐριννύ-
ων, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν βάκτρον, ὃς ἀπ'
αὐτοῦ ἀράξης μετωνομάσθη· καθὼς ἱστορεῖ
— κτησιφῶν ἐν α' περσικῶν· ἀράξης ἀρμενίων
βασιλεὺς πρὸς τοὺς πλησιοχώρους πέρσας
πόλεμον ἔχων, καὶ τῆς παρατάξεως παρεγ-
κειμένης, χρησμὸν ἔλαβεν αὐτὸν ἔσεσθαι τῆς νί-
κης ἐγκρατῆ, ἐὰν θεοῖς ἀποτροπαίοις θύσῃ
δύο τὰς εὐγενεστάτας παρθένους· ὁ δὲ διὰ φι-
λοστοργίαν τῶν ἰδίων θυγατέρων φεισά-
μενος, ἑνὸς τῶν ὑποτεταγμένων κόρας περικα-
— λοὺς τοῖς βωμοῖς προσαγαγὼν ἀνεῖλεν· μνήσαλ-
κης δὲ ὁ τῶν φονευθεισῶν πατὴρ καρτερῶς ἐ-
νεγκὼν τὴν πρᾶξιν, πρὸς καιρὸν ἀνέξας τὴν ὕβριν·
ἀφορμῆς δὲ δραξάμενος, ἐξ ἐνέδρας τοῦ
τυράννου θυγατέρας ἀπέκτεινεν καὶ καταλι-
πὼν τὸ πατρῷον ἔδαφος, εἰς σκυθίαν ἔφυγεν·
— ἀράξης δὲ περὶ τῶν συμβεβηκότων κατηχη-
θεὶς καὶ ἀθυμίᾳ συνοχεθείς, ἑαυτὸν ἔρριψεν εἰς πο-
ταμὸν ἀλμενόν, ὃς ἀπ' αὐτοῦ ἀράξης μετωνομάσθη:
βοτάνη ἀράξα — γεννᾶται δὲ ἐν αὐτῷ βοτάνη, ἀράξα καλουμένη,
τῇ διαλέκτῳ τῶν ἐγχωρίων, ἥτις μεθερμη-
νευομένη, γίνεται μισοπάρθενος· ἀμοναρά

ῥεθῆναι καὶ τὴν προσφιλῆ μὲν ὑπὸ παρθένων
αἵματος ποιησαμένη καταφοράν, μαραίνε-
ται. καὶ λίθος δὲ γεννᾶται σικυώνιος καλούμε-
νος μελάγχρους· οὗτος ὅταν τις χρησμὸς ἀνθρω-
ποκτόνος ἐμπέσῃ τοῖς καιροῖς τῶν ἀποτρο-
παίων θεῶν, ὑποδυσάμενοι τίθεσθαι παρθένων, τοῦ
δὲ ἱερέως αὐτοῦ τὴν μάχαιραν θιγόντος, αἵμα-
τος ἐλεγμοῖς γίνεται δαψιλής· καὶ τούτῳ τῷ χρό-
νῳ τὴν δεισιδαιμονίαν τελέσαντες, μετ' ὀλολυγμῶν
ἀναχωροῦσιν, τὸν λίθον πρὸς τὸν ναὸν προσενέγ-
καντες· καθὼς ἱστορεῖ Δωρόθεος ὁ Χαλδαῖος ἐν
β' περὶ λίθων. παράκειται δὲ αὐτῷ ὄρος Διόρφον
καλούμενον, ἀπὸ Διόρφου τοῦ γηγενοῦς, περὶ οὗ
φέρεται ἱστορία τοιαύτη· Μίθρας υἱὸν [illegible]
μενος, καὶ τὸ τῶν γυναικῶν γένος μισῶν, πέ-
τρᾳ τινὶ προσεξέθορεν· ἔγκυος δὲ ὁ λίθος γενό-
μενος, μετὰ τοὺς ὡρισμένους χρόνους ἀνέδωκε νέ-
ον, τοὔνομα Διόρφον· ὃς ἀκμάσας, καὶ στὰς ἅμιλλαν
ἀρετῆς τὸν Ἄρη προκαλεσάμενος, ἀνῃρέθη· οὗτος
κατὰ πρόνοιαν θεῶν, εἰς τὸ ὁμώνυμον ὄρος μετεμορφώ-
θη. γεννᾶται δὲ ἐν αὐτῷ δένδρον, ῥοιᾷ παραπλή-
σιον, καρπὸν δὲ ἄφθονον τρέφει, σταφυλῇ μὲν τὴν γεῦ-
σιν ἔχοντα, φύλλα παρόμοιον ἐλυταίνῃς τῆς ὀ-
πώρας· ἐὰν δρέψῃ τις καθεζόμενος ὀνομάσῃ τὸν Ἄρη,
γίνεται κερατούμενος χλωρός, καθὼς ἱστορεῖ Κτη-
σιφῶν ἐν γ' περὶ δένδρων.

κδ

Τίγρις ποταμός ἐστι τῆς Ἀρμενίας, τὸν ῥοῦν καταφέρων εἰς
τὸν Ἀράξην καὶ τὴν Ἀρσακίδα λίμνην· ἐκαλεῖ-
το δὲ τὸ πρότερον Σόλλαξ, ὅπερ μεθερμηνευόμε-
νόν ἐστι κατωφερής. ὠνομάσθη δὲ Τίγρις δι' αἰ-
τίαν τοιαύτην· Διόνυσος κατὰ πρόνοιαν Ἥρας
ἐμμανὴς γενόμενος, περιῄρχετο γῆν τε καὶ
θάλατταν, ἀπαλλαγὴν αὐτοῦ πάθους θέλων.

λίθος σικυώνιος:

ὄρος Διόρφον

δένδρον ῥοιᾷ παραπλήσιον ἐν τῷ ὄρει

Τίγρις

γενόμενος δὲ ἐν τοῖς κατ' Ἀρμενίαν τόποις, καὶ
τὸν προειρημένον ποταμὸν διελθεῖν μὴ δυνά-
μενος, ἐπεκαλέσατο τὸν Δία· γενόμενος δὲ ἐπή-
κοος ὁ θεός, ἔπεμψεν αὐτῷ τίγριν ἐφ' ἧς ἀκινδύ-
νως προσενεχθείς· ὅστις ἐν μνήμῃ τῶν συμβεβηκό-
των, τὸν ποταμὸν Τίγριν μετωνόμασεν· καθὼς ἱ-
στορεῖ Θεόφιλος ἐν α' περὶ λίθων· Ἑρμησιάναξ
δὲ ὁ Κύπριος ἱστορίας μέμνηται τοιαύτης· Διό-
νυσος ἐρασθεὶς Ἀλφεσιβοίας νύμφης, καὶ μή-
τε δώροις μήτε δεήσεσιν πεῖσαι δυνάμενος, εἰς
τὴν προειρημένην τίγριν μετέβαλεν τὴν μορ-
φὴν τοῦ σώματος καὶ φοβήσας τὴν ἀγαπω-
μένην, ἀναλαβὼν αὐτὴν καὶ διὰ τοῦ ποταμοῦ κο-
μίσας, ἐγέννησεν υἱὸν Μῆδον· ὃς ἀκμάσας εἰς

ἐκ τίνος ὁ Μῆδος καὶ τίνος υἱός:~

τιμὴν τοῦ συγκυρήματος, τὸν ποταμὸν Τίγριν
μετωνόμασεν· καθὼς ἱστορεῖ Ἀριστώνυμος ἐν γ'· γεν-

λίθος μυνδάν

νᾶται δ' ἐν αὐτῷ λίθος μυνδὰν καλούμενος, πάνυ
λευκός, ὃν ἐὰν κατέχῃ τις, οὐδὲν ὑπὸ θηρίων ἀδι-
κεῖται· καθὼς ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν γ' περὶ

ὄρος Γαύρανον

ποταμῶν· παράκειται δ' αὐτῷ ὄρος Γαύρανον κα-
λούμενον, ἀπὸ Γαυρὰν τοῦ Σαζάμενου σατράπου·
ὃς ἀσεβὴς ὢν πρὸς τοὺς θεούς, τῆς ἀμοιβαίας
εὐχῆς χάριτος μόνος ἐκ πάντων τῶν ἀνθρώπων, τρια-

ἐκ τῶν τ' ζήσαντ' ἔτη:

κοσίοις ἔτεσι ἔζησεν, καὶ ἀπερμόσσουτι νόσῳ τελευτή-
σας, ἐν ταῖς ἀκρωρείαις τοῦ Γαυράνου ταφῆς ἠξι-
ώθη· πολυτελοῦς καὶ κατὰ δὲ πρόνοιαν θεῶν τοῦ

βοτάνη κριθῇ παρόμοιος ἐν τῷ ὄρει:

ὄρος, ἀπ' αὐτοῦ Μαυσωρὸν μετωνομάσθη· γεννᾶ-
ται δ' ἐν αὐτῷ βοτάνη, κριθῇ ἐστι παρόμοιος· ἣν ἀ-
γρίαν ταύτην οἱ ἐγχώριοι θερμαίνοντες ἐν ἐλαίῳ,
ἀλειφόμενοι οὐδέποτε νοσοῦσιν, μέχρι ἂν ἀγκίσ-
του θανάτου· καθὼς ἱστορεῖ Σώστρατος ἐν α' μυθικῆς
ἱστορίας ἀγωγῆς:

Ἰνδός κε'

Ἰνδὸς ποταμός ἐστι τῆς
Ἰνδίας, ῥοίζῳ μεγάλῳ καταφερόμενος· ἐστὶ τῶν

ἰχθυοφάγων γῆν· ἐκαλεῖτο δὲ πρότερον Μαυ-
σωλός, ἀπὸ Μαυσωλοῦ τοῦ Ἡλίου· μετωνομάσθη
δὲ δι' αἰτίαν τοιαύτην· τοῦ Διονύσου μυστηρί-
ων τελουμένων, καὶ τῶν ἐγχωρίων τῇ δεισιδαι-
μονίᾳ προσκαιρούντων, Ἰνδὸς τῶν ἐπισή-
μων γένος, τὴν Ὀξυάλκου τοῦ βασιλέως θυγα-
τέρα Δαμασαλκίδαν κανηφοροῦσαν βιασά-
μενος· ἐπεὶ θάρρει ζητούμενος δὲ ὑπὸ τοῦ
τυράννου πρὸς κόλασιν, διὰ φόβον ἑαυτὸν
κατέβαλεν εἰς ποταμὸν Μαυσωλόν· ὃς ἀπ' αὐτοῦ
Ἰνδὸς μετωνομάσθη. γεννᾶται δὲ ἐν αὐτῷ λί-
θος προσαγορευόμενος· ὃν ὅταν φορῶσιν αἱ παρ-
θένοι, κατ' οὐδὲν ἀτρόπως τοὺς ἐφορῶντας φο-
βοῦνται. φύεται δὲ καὶ βοτάνη, βουγλώσσῳ πα-
ρόμοιος· ὧι ταῖς δ' ἄριστα πρὸς ἰκτερικούς, με-
τὰ ὕδατος χλιαροῦ διδομένη τοῖς πάσχουσι·
καθὼς ἱστορεῖ Κλειτοφῶν ὁ Ῥόδιος ἐν ᾱ Ἰνδικῶν.
παράκειται δ' αὐτῷ ὄρος, Λιλαῖον προσαγορευόμε-
νον, ἀπὸ Λιλαίου ποιμένος· οὗτος γὰρ δεισιδαίμων
ὑπάρχων, καὶ μόνος σεβόμενος τὴν Σελήνην νυ-
κτὸς καθ' ἑκάστην ἐκτελεῖ τὰ μυστήρια τῆς προειρη-
μένης· βαρέως δὲ οἱ λοιποὶ θεοὶ ἀτιμίαν φέρον-
τες, ἔπεμψαν αὐτῷ δύο λέοντας ὑπερμεγέθεις·
ὑφ' ὧν διασπαραχθεὶς τὸν βίον ἐξέλιπεν· ἡ Σελή-
νη δὲ τὸν ἀεργῆν μετέβαλεν εἰς τὸ ὁμώνυμον
ὄρος. γεννᾶται δὲ ἐν αὐτῷ λίθος κλειτορὶς ὀνο-
μαζόμενος· ἔστι δὲ λίαν μελάγχρους· ὃν κόσμου
χάριν οἱ ἐγχώριοι φοροῦσιν ἐν τοῖς ὠταρίοις,
καθὼς ἱστορεῖ Ἀριστοτέλης ἐν ᾱ περὶ ποταμῶν:

λίθος

βοτάνη βουγλώσσῳ παρόμοιος

ὄρος λιλαῖον

λίθος ἐν τῷ ὄρει κλειτορίς:

ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΡΙ ΠΟΤΑΜΩΝ
ΚΑΙ ὈΡΩΝ ἘΠΩΝΥΜΙΑΣ ΚΑΙ ΤΩΝ
ἘΝ ΑΥΤΟΙΣ ΕΥΡΙΣΚΟΜΕΝΩΝ:

+ Παρθενίου περὶ ἐρωτικῶν παθημάτων

Ταῦτα ἐν τῷδε τῷ συγγράμματι περιέχεται:

+ Παρθένιος Κορνηλίῳ Γάλλῳ χαίρειν.

μάλιστά σοι δοκῶν ἁρμόττειν Κορνήλιε Γάλλε τὴν
ἄθροισιν τῶν ἐρωτικῶν παθημάτων ἀναλε-
ξάμενος, ὡς ὅτι μάλιστα ἐν βραχυτάτοις ἀπέ-
σταλκα· τὰ γὰρ παρά τισι τῶν ποιητῶν κείμε-
να τούτων μὴ αὐτοτελῶς λελεγμένα, κατα-
νοήσῃ ἐκ τῶνδε τὰ πλεῖστα· αὐτῷ τέ σοι παρέ-
σται εἰς ἔπη καὶ ἐλεγείας ἀνάγειν τὰ μάλιστα ἐξ
αὐτῶν ἁρμόδια· διὰ τὸ μὴ παρεῖναι τὸ πε-
ριττὸν ἐν αὐτοῖς, ὃ δὴ σὺ μετέρχῃ, χεῖρον περὶ αὐ-
τῶν ἐνθυμηθῇς· οἱονεὶ γὰρ ὑπομνηματίων
τρόπον αὐτὰ συνελεξάμεθα, καὶ σοὶ νυνὶ τὴν

περὶ Λύρκου α

χρῆσιν ὁμοίαν ὡς ἔοικε παρέξεται: Ἁρπα-
σθείσης Ἰοῦς τῆς Ἀργείας ὑπὸ λῃστῶν· ὁ πατὴρ
αὐτῆς Ἴναχος μαστῆράς τε καὶ ἐρευνητὰς ἄλ-
λους τε καθῆκεν· ἐν δὲ αὐτοῖς, Λύρκον τὸν Φο-

Ἡ ἱστορία παρὰ Νικαινέτῳ ἐν τῷ Λύρκῳ καὶ
Ἀπολλωνίῳ Ῥοδίῳ Καύνῳ:

ρον ἐπεὶ ὃς μάλα πολλὴν γῆν ἐπιδραμὼν καὶ
πολλὴν θάλασσαν περαιωθεὶς τέλος ὡς οὐχ εὕ-
ρισκεν, ἀπεῖπε τῷ πόνῳ καὶ καμάτῳ· καὶ ἐς μὲν Ἄργος
δεδοικὼς τὸν Ἴναχον οὐ μάλα τι κατῄει,
ἀφικόμενος δὲ ἐς Καῦνον πρὸς Αἰγιαλὸν γαμεῖ
αὐτοῦ τὴν θυγατέρα Εἰλεβίην· ἔφασαν γὰρ τὴν
κόρην ἰδοῦσαν τὸν Λύρκον ἐρασθῆναι,
καὶ πολλὰ τοῦ πατρὸς δεηθῆναι κατασχεῖν
αὐτόν· ὁ δὲ τῆς τε βασιλείας μοῖραν οὐκ ἐλαχί-
στην ἀποδασάμενος καὶ τῶν λοιπῶν ὑπαρ-
γμάτων, γαμβρὸν εἶχεν. χρόνου δὲ πολλοῦ προ-
ϊόντος, ὡς τῷ Λύρκῳ παῖδες οὐκ ἐγίνοντο, ἦλ-
θεν εἰς Διδύμων χρησόμενος περὶ γονῆς τέ-
κνων· καὶ αὐτῷ θεσπίζει ὁ θεὸς παῖδας φύ-
σειν, ᾗ ἂν ἐκ τοῦ ναοῦ χωρισθεὶς πρώτῃ συγ-
γένηται. ὁ δὲ μάλα γεγηθὼς ἠπείγετο πρὸς
τὴν γυναῖκα, πειθόμενος κατὰ νοῦν ἄρα αὐτῷ
χωρήσειν τὸ μαντεῖον. ἐπεὶ δὲ πλέων ἀφίκετο
ἐς Βύβαστον πρὸς Στάφυλον τὸν Διονύσου, μάλα φιλο-
φρόνως ἐκεῖνος αὐτὸν ὑποδεχόμενος ἐς πο-
λὺν οἶνον προετρέψατο, καὶ ἐπειδὴ πολλῇ μέ-
θῃ παρεῖτο, συγκατέκλινεν αὐτῷ Ἡμιθέαν
τὴν θυγατέρα. ταῦτα δὲ ἐποίει προπεπυσμένος
τὸ τοῦ χρηστηρίου, καὶ βουλόμενος ἐκ ταύτης
αὐτῷ παῖδας γενέσθαι. δι' ἔριδος μέντοι ἐγέ-
νοντο Ῥοιώ τε καὶ Ἡμιθέα αἱ τοῦ Σταφύλου, τίς
αὐτῶν μιχθῇ τῷ ξένῳ· τοσοῦτος ἀμφοτέ-
ρας κατέσχε πόθος. Λύρκος δὲ ἐπιγνοὺς τῇ
ὑστεραίᾳ οἷα ἐδεδράκει, καὶ τὴν Ἡμιθέαν ὁρῶν
συγκατακεκλιμένην, ἐδυσφόρει τε καὶ πολ-
λὰ κατεμέμφετο τὸν Στάφυλον, ὡς ἀπατεῶνα
γενόμενον αὐτοῦ. ὕστερον δὲ μηδὲν ἔχων ὅ τι
ποιῇ, περιελόμενος τὴν ζώνην δίδωσι τῇ

ἱστορεῖ φιλίτας ἑρμῆι

κόρῃ· κελεύων κατακρύψαι τῷ παιδί, ἐφηβήσαντι·
ὅπως ἔχῃ γνώρισμα, ὁπότ' ἂν ἀφίκοιτο πρὸς
τὸν πατέρα αὐτοῦ ἐς καῦνον. καὶ ἐξέπλευσεν·
αἰγιαλὸς δὲ ὡς ἐπύθετο τά τε κατὰ τὸ χρηστή-
ριον καὶ τὴν ἡμιθέαν, ἤλαυνεν τῆς γῆς αὐτόν·
ἔνθα δὴ μάχη συνεχὴς ἦν. τοῖς τε τὸν λύρκον προσι-
εμένοις, καὶ τοῖς τὰ αἰγιαλοῦ φρονοῦσι· μάλιστα
δὲ συνεργὸς ἐγίνετο, εἰλεβίη· οὐ γὰρ ἀπεῖπε τὸν
λύρκον· μετὰ δὲ ταῦτα ἀνδρωθεὶς ὁ ἐξ ἡμιθέας
καὶ λύρκου βασιλεὺς αὐτῷ ὄνομα, ἦλθεν ἐς τὴν
καυνίαν· καὶ αὐτὸν γνωρίσας ὁ λύρκος ἤδη
γηραιὸς ὤν, ἡγεμόνα καθίστησι τῶν σφετέ-
ρων λαῶν:

περὶ πολυμήλης β

ὀδυσσεὺς ἀλώμενος περὶ σικε-
λίαν καὶ τὴν τυρρηνῶν καὶ τὴν σικελῶν θάλασσαν,
ἀφίκετο πρὸς αἴολον καὶ μελιγουνίδα νῆσον· ὃς αὐ-
τὸν κατὰ κλέος σοφίας τεθηπώς, ἐν πολλῇ
φροντίδι εἶχεν. τά τε περὶ τροίης ἅλωσιν. καὶ ὃν
τρόπον αὐτοῖς ἐσκεδάσθη-σαν αἱ νῆες κομι-
ζομένοις ἀπὸ τῆς ἰλίου, διεπυνθάνετο· ξενίζω-
τε αὐτὸν πολὺν χρόνον, διῆγε· τῷ δ' ἄρα καὶ αὐτῷ
ἦν ἡ μονὴ ἡδομένη· πολυμήλη γὰρ τῶν αἰολί-
δων τις ἐρασθεῖσα αὐτοῦ, κρύφα συνῆν· ὡς δὲ
τοὺς ἀνέμους ἐγκεκλεισμένους παρ' αὐτοῦ
ἀπέπλευσεν, ἡ κόρη φωρᾶταί τινα τῶν τρωϊκῶν
λαφύρων ἔχουσα· καὶ τούτοις μετὰ πολλῶν δα-
κρύων κυλινδουμένη. ἔνθα ὁ αἴολος. τὸν μὲν
ὀδυσσέα καίπερ οὐ παρόντα, ἐκάκισεν· τὴν
δὲ πολυμήλην ἐν νῷ ἔσχεν τίσασθαι· ἔτυχεν
δὲ αὐτῆς ἠρασμένος. ὁ ἀδελφὸς διώρης ὃς
αὐτὴν παραιτεῖταί τε καὶ πείθει τὸν πατέρα
αὐτῷ συνοικίσαι:

περὶ εὐίππης γ

οὐ μόνον δὲ ὀδυσσεὺς
περὶ αἴολον ἐξήμαρτεν, ἀλλὰ καὶ μετὰ τὴν ἄλην
ὡς τοὺς μνηστῆρας ἐφόνευσεν, ἐς ἤπειρον·

ἱστορεῖ σοφοκλῆς εὐρυάλωι

ἐλθὼν χρηστηρίων τινῶν ἕνεκα τὴν Τυρίμμα θυ
γατέρα ἔφθειρεν Εὐίππην· ὃς αὐτὸν οἰκείως
τε ὑπεδέξατο καὶ μετὰ πάσης προθυμίας ἐ
ξένιζε· παῖς δὲ αὐτῷ γίνεται ἐκ ταύτης Εὐρύ
αλος. τοῦτον ἡ μήτηρ ἐπεὶ εἰς ἥβην ἦλθεν, ἀπο
πέμπεται εἰς Ἰθάκην, συμβόλαιά τινα δοῦσα
ἐν δέλτῳ κατεσφραγισμένα. τοῦ δὲ Ὀδυσσέ
ως κατὰ τύχην τότε μὴ παρόντος, Πηνελόπη
καταμαθοῦσα ταῦτα, καὶ ἄλλως δὲ προπεπυσμέ
νη τὸν τῆς Εὐίππης ἔρωτα, πείθει τὸν Ὀδυσσέα
παραγενόμενον πρὶν ἢ γνῶναί τι τούτων ὡς ἔ
χει, κατακτεῖναι τὸν Εὐρύαλον ὡς ἐπιβουλεύοντα
αὐτῷ. καὶ Ὀδυσσεὺς μὲν διὰ τὸ μὴ ἐγκρατὴς φῦ
ναι μηδὲ ἄλλως ἐπιεικής, αὐτόχειρ τοῦ παιδὸς
ἐγένετο. καὶ οὐ μετὰ πολὺν χρόνον ἢ τόδε ἀπερ
γάσασθαι πρὸς τῆς αὐτὸς αὑτοῦ γενεᾶς τρωθεὶς
ἀκάνθῃ θαλασσίας τρυγόνος ἐτελεύτησεν:

ἡ τῶν Ὀδυσσέως [illegible]
θάνατον ὁποῖος

Δ Περὶ Οἰνώνης

Ἀλέξανδρος ὁ Πριάμου βουκολῶν κατὰ τὴν Ἴδην,
ἠράσθη τῆς Κεβρῆνος θυγατρὸς Οἰνώνης· λέ
γεται δὲ ταύτην ἔκ του θεῶν κατεχομένην θε
σπίζειν περὶ τῶν μελλόντων· καὶ ἄλλως δὲ ἐπὶ συ
νέσει φρενῶν ἐπὶ μέγα διαβεβοῆσθαι. ὁ οὖν Ἀλέ
ξανδρος αὐτὴν ἀγαγόμενος παρὰ τοῦ πατρὸς
εἰς τὴν Ἴδην, ὅπου αὐτῷ οἱ σταθμοὶ ἦσαν, εἶχε γυ
ναῖκα· καὶ αὐτῇ φιλοφρονούμενος μηδαμὰ
προλείψειν ὤμνυεν, ἐν περισσοτέρᾳ τε τιμῇ ἄξειν· ἡ δὲ
συνιέναι μὲν ἔφασκεν εἰς τὸ παρὸν, ὡς δὴ πάνυ
αὐτῆς ἐρῴη, χρόνον μέντοι τινὰ γενήσεσθαι ἐν
ᾧ ἀπαλλάξας αὐτὴν εἰς τὴν Εὐρώπην περαιω
θήσεται· κἀκεῖ πτοηθεὶς ἐπὶ γυναικὶ ξένῃ πό
λεμον ἐπάξεται τοῖς οἰκείοις. ἐξηγεῖτο δὲ ὡς δεῖ
αὐτὸν ἐν τῷ πολέμῳ τρωθῆναι· καὶ ὅτι οὐδεὶς
αὐτὸν οἷός τε ἔσται ὑγιῆ ποιῆσαι, ἢ αὐτή· ἑκάστοτε δὲ

ἱστορεῖ Νίκανδρος ἐν τῷ περὶ ποιητῶν καὶ Κε
φάλων ὁ Γεργίθιος ἐν Τρωικοῖς

τε δὲ ἐπιλεγομένης αὐτῆς, ἐκεῖνος οὐκ εἴα με-
μνῆσθαι. χρόνου δὲ προϊόντος ἐπειδὴ Ἑλέ-
νην ἔγημεν, ἡ μὲν Οἰνώνη μεμφομένη τῶν
πραχθέντων τὸν Ἀλέξανδρον, εἰς Κεβρῆνα ὅ-
θεν περ ἦν γένος ἀπεχώρησεν· ὁ δὲ παρή-
κοντος ἤδη τοῦ πολέμου διατοξευόμενος
Φιλοκτήτῃ τιτρώσκεται. ἐν νῷ δὲ λαβὼν
τὸ τῆς Οἰνώνης ἔπος, ὅτε ἔφατο αὐτὸν πρὸς
αὐτῆς μόνης οἷόν τε εἶναι ἰαθῆναι, κήρυκα
πέμπει δεησόμενον ὅπως ἐπειχθεῖσα ἀκέση-
ταί τε αὐτὸν καὶ τῶν παροιχομένων λήθην ποι-
ήσηται· ἅτε δὴ κατὰ θεῶν βούλησίν γε ἀ-
φικόμενον. ἡ δὲ αὐθαδέστερον ἀπεκρίνατο, ὡς
χρὴ παρ' Ἑλένην αὐτὸν ἰέναι κἀκείνης δεῖσθαι·
αὐτὴ δὲ μάλιστα ἠπείγετο ἔνθα δὴ ἐπέπυστο
κεῖσθαι αὐτόν. τοῦ δὲ κήρυκος τὰ λεχθέντα
παρ' αὐτῆς θᾶττον ἀπαγγείλαντος·
ἀθυμήσας ὁ Ἀλέξανδρος ἐξέπνευσεν· Οἰνώ-
νη δὲ ἐπεὶ νέκυν ἤδη κατὰ γῆς κείμενον
ἐλθοῦσα εἶδεν, ἀνῴμωξε καὶ πολλὰ κατολο-
φυραμένη διεχρήσατο ἑαυτήν.

Περὶ Λευκίππου ε

Λεύκιπ-
πος δὲ Ξανθίου παῖς, γένος τῶν ἀπὸ Βελλε-
ροφόντου, διαφέρων ἰσχύϊ μάλιστα τῶν κα-
θ' αὑτὸν ἤσκει τὰ πολεμικά· διὸ πολὺς ἦν λόγος
περὶ αὐτοῦ παρά τε Λυκίοις καὶ τοῖς προσε-
χέσι τούτοις· ἅτε δὴ ἀγομένοις καὶ φέρουσι ὅτι
οὐ δυσχερὲς πάσχουσιν. οὗτος κατὰ μῆνιν
Ἀφροδίτης εἰς ἔρωτα ἀφικόμενος τῆς ἀδελ-
φῆς, τέως μὲν ἐκαρτέρει, οἰόμενος ῥᾷστα
ἀπαλλάξασθαι τῆς νόσου· ἐπεὶ μέντοι χρόνου
διαγενομένου οὐδὲ ἐπ' ὀλίγον ὑφίει τὸ πά-
θος, ἀνακοινοῦται τῇ μητρί, καὶ πολλὰ καθι-
κέτευε μὴ περιιδεῖν αὐτὸν ἀπολλύμενον· ε

ἱστορεῖ Ἑρμησιάναξ Λεοντίῳ

γὰρ αὐτῷ μὴ συνεργήσειεν, ἀποσφάξειν αὐτὸν
ἠπείλει· τῆς δὲ παραχρῆμα τὴν ἐπιθυμίαν
φαμένης τελευτήσειν, ῥᾴων ἤδη ἐγεγόνει· ἀνα-
καλεσαμένη δὲ τὴν κόρην συγκατακλίνει τῷ
ἀδελφῷ· κἀκ τούτου συνῆσαν, οὐ μάλα τινὰ δε-
διότες· ἕως τις ἐξαγγέλλει τῷ κατεγγυη-
μένῳ τὴν κόρην μνηστῆρι· ὁ δὲ τόν τε αὐτοῦ
πατέρα παραλαβὼν καί τινας τῶν προσηκόν-
των, πρόσεισι τῷ Ξανθίῳ, καὶ τὴν πρᾶξιν κα-
ταμηνύει, μὴ δηλῶν τοὔνομα τοῦ Λευκίππου· Ξάν-
θιος δὲ δυσφορῶν ἐπὶ τοῖς προσηγγελμένοις,
πολλὴν σπουδὴν ἐτίθετο φωρᾶσαι τὸν φθορέα·
καὶ διεκελεύσατο τῷ μηνυτῇ, ὁπότε ἴδοι συ-
νόντας, αὐτῷ δηλῶσαι· τοῦ δὲ ἑτοίμως ὑπακού-
σαντος, καὶ αὐτίκα τὸν πρεσβύτην ἐπαγομένου
τῷ θαλάμῳ, ἡ παῖς αἰφνιδίου ψόφου γενη-
θέντος, ᾤετο διαδρᾶναι, ὑπολαμβάνουσα λή-
σεσθαι τὸν ἐπιόντα· καὶ αὐτὴν ὁ πατὴρ ὑπολαβὼν εἶναι τὸν
φθορέα, πατάξας μαχαίρᾳ, καταβάλλει· τῆς δὲ
περιωδύνου γενομένης, καὶ ἀνακραγούσης, ὁ Λεύ-
κιππος ἐπαμύνων αὐτῇ, καὶ διὰ τὸ ἐκπεπλῆχθαι
μὴ προϊδόμενος ὅστις ἦν, καταβάλλει τὸν πατέ-
ρα· δι' ἣν αἰτίαν ἀπολιπὼν τὴν οἰκείαν, Θετταλοῖς
τοῖς συμβᾶσιν εἰς Κρήτην ἡγήσατο·
κἀκεῖθεν ἐξελαθεὶς ὑπὸ τῶν προσοίκων, εἰς τὴν
Ἐφεσίαν ἀφίκετο, ἔνθα χωρίον ᾤκησε τὸ Κρητι-
ναῖον ἐπικληθέν· τοῦ δὲ Λευκίππου τούτου λέ-
γεται τὴν Μανδρολύτου θυγατέρα Λευκοφρύην
ἐρασθεῖσαν, προδοῦναι τὴν πόλιν τοῖς πολεμί-
οις, ὧν ἐτύγχανεν ἡγούμενος ὁ Λεύκιππος, ἑλομέ-
νων αὐτὸν κατὰ θεοπρόπιον, τῶν δεκατευθέν-
των ἐκ Φερῶν ὑπὸ Ἀδμήτου:

ϛ ΠΕΡΙ ΠΑΛΛΗΝΗΣ

Λέγεται καὶ Σίθω-
να τὸν Ὀδομάντων βασιλέα γεννῆσαι θυγατέρα

ΙΣΤΟΡΕΙ ΔΙΟΓΕΝΗΣ ΚΑΙ ΗΓΗΣΙΠΠΟΣ ΕΝ ΠΑΛΛΗΝΙΑΚΟΙΣ

παλλήνην· καλήν τε καὶ ἐπίχαριν· καὶ διὰ τοῦ
το ἐπὶ πλεῖστον χωρίον ἀφικέσθαι κλέος αὐτῆς· φοιτᾶν τε
μνηστῆρας οὐ μόνον ἀπὸ τῆς θρᾴκης, ἀλλὰ
καὶ ἔτι προσωτέρωθεν, ἀπό τε ἰλλυρίδος τῶν
ἐπὶ τανάιδος ποταμοῦ κατῳκημένων· τὸν
δὲ σίθωνα πρῶτον μὲν κελεύειν τοὺς ἀφικνου
μένους μνηστῆρας πρὸς μάχην ἰέναι τὴν κό
ρην ἔχοντα· εἰ δὲ ἥττων φανείη, τεθνάναι·
τούτῳ τε τῷ τρόπῳ πάνυ συχνοὺς ἀνῃρήκει·
μετὰ δὲ ὡς αὐτόν τε ἡ πλείων ἰσχὺς ἐπιλελοίπει ἔ
γνωστό τε αὐτῷ τὴν κόρην ἁρμόσασθαι, δύο μνη
στῆρας ἀφιγμένους δρύαντά τε καὶ κλεῖτον, ἐ
κέλευσεν ἆθλον προκειμένου τῆς κόρης ἀλλήλοις
διαμάχεσθαι· καὶ τὸν μὲν τεθνάναι· τὸν δὲ πε
ριγενόμενον τήν τε βασιλείαν καὶ τὴν παῖδα
ἔχειν· τῆς δὲ ἀφορισμένης ἡμέρας παρούσης,
ἡ παλλήνη ἐτύγχανε γὰρ ἐρῶσα τοῦ κλείτου, πάνυ
ὀρρωδεῖ περὶ αὐτοῦ· καὶ σημῆναι μὲν οὐκ ἐτόλμα
τινὶ τῶν ἀμφ' αὐτήν· δάκρυα δὲ πολλὰ ἐχεῖτο τῶν
παρειῶν αὐτῆς, ἕως ὅτε τροφεὺς αὐτῆς πρεσβύ
της ἀναπυνθανόμενος καὶ ἐπιγνοὺς τὸ πάθος,
τῇ μὲν θαρρεῖν παρεκελεύσατο, ὡς ᾗ βούλεται ταύ
τῃ τοῦ πράγματος χωρήσοντος· αὐτὸς δὲ κρύ
φα ὑπέρχεται τὸν ἡνίοχον τοῦ δρύαντος· καὶ αὐ
τῷ χρυσὸν πολὺν ὁμολογήσας πείθει διὰ τῶν
ἁρματηγῶν τροχῶν μὴ διεῖναι τὰς περόνας· ἐν
θα δὴ ὡς ἐς μάχην ἐξῄεσαν· καὶ ἤλαυνεν ὁ δρύ
ας ἐπὶ τὸν κλεῖτον, καὶ οἱ τροχοὶ περιερρύησαν αὐ
τῷ τῶν ἁρμάτων· καὶ οὕτως πεσόντα αὐτὸν ἐπι
δραμὼν ὁ κλεῖτος ἀναιρεῖ· αἰσθόμενος δὲ ὁ σίθων
τόν τε ἔρωτα καὶ τὴν ἐπιβουλὴν τῆς θυγατρὸς,
μάλα μεγάλην πυρὰν νήσας, καὶ ἐπιθεὶς τὸν δρύ
αντα, οἷός τε ἦν ἐπισφάξειν καὶ τὴν παλλήνην·

ἱστορεῖ φανίας ὁ ἐρέσιος

φαντάσματος δὲ θείου γενομένου καὶ ἐξαπιναί-
ως ὕδατος ἐξ οὐρανοῦ πολλοῦ καταραγέντος, με-
τέγνω τε· καὶ γάμοις ἁρμοσάμενος τὸν παρόντα
θρᾳκῶν ὅμιλον, ἐφῆκε τοῖς ἑκάστοις τὴν κόρην ἀ-
γάγεσθαι:

ζ περὶ ἱππαρίνου

ἐν δὲ τῇ ἰταλικῇ ἡρακλείᾳ παι-
δὸς διαφόρου τὴν ὄψιν ἱππαρῖνος ἦν αὐτῷ ὄνο-
μα τῶν πάνυ δοκίμων, ἀντιλέων ἠράσθη· ὃς πολ-
λὰ μηχανώμενος, οὐδαμῇ δυνατὸς ἦν αὐτὸν
ἁρμόσασθαι· περὶ δὲ γυμνάσια διατρίβοντι
πολλὰ τῷ παιδὶ προσρυεὶς ἔφη τοσοῦτον αὐ-
τοῦ πόθον ἔχειν, ὥστε πάντα πόνον ἂν τλῆναι·
καὶ ὅτι ἂν κελεύοι, μηδενὸς αὐτὸν ἁμαρτήσε-
σθαι· ὁ δὲ ἄρα κατειρωνευόμενος, προσέταξεν
αὐτῷ ἀπό τινος ἐρυμνοῦ χωρίου ὃ μάλιστα ἐφρου-
ρεῖτο ὑπὸ τοῦ τῶν ἡρακλεωτῶν τυράννου, τὸν κώ-
δωνα κατακομίσαι· πειθόμενος μὴ ἄν ποτε
τελέσειν αὐτὸν τὸν δὲ τὸν ἆθλον· ἀντιλέων δὲ κρύ-
φα τὸ φρούριον ὑπελθὼν, καὶ λοχήσας τὸν φύλα-
κα τοῦ κώδωνος κατακαίνει· καὶ ἐπειδὴ ἀφίκετο
πρὸς τὸ μειράκιον, τελέσας τὴν ὑπόσχεσιν,
ἐν πολλῇ αὐτῷ εὐνοίᾳ ἐγένετο· καὶ ἐκ τοῦδε
μάλιστα ἀλλήλους ἐφίλουν· ἐπεὶ δὲ ὁ τύραννος
τῆς ὥρας ἐγλίχετο τοῦ παιδὸς· καὶ οἷός τε ἦν
αὐτὸν καὶ ἀνάγεσθαι, δυσανασχετήσας ὁ ἀντιλέων·
ἐκείνῳ μὲν παρεκελεύσατο μὴ ἀντιλέγοντα κιν-
δυνεύειν· αὐτὸς δὲ οἴκοθεν ἐξιόντα τὸν τύραν-
νον προσδραμὼν, ἀνεῖλεν· καὶ τοῦτο δράσας, δρό-
μῳ ἵετο· καὶ διέφυγεν ἄν, εἰ μὴ προβάτοις συνδε-
δεμένοις ἀμφιπεσὼν ἐχειρώθη· διὸ τῆς πόλε-
ως εἰς τἀρχαῖον ἀποκαταστάσης, ἀμφοτέροις πα-
ρὰ τοῖς ἡρακλεώταις ἐτέθησαν εἰκόνες χαλκαῖ·
καὶ νόμος ἐγράφη, μηδένα ἐλαύνειν τὸ λοι-
πὸν πρόβατα συνδεδεμένα:

ο τεδεοι

περὶ ἡρίππης η΄

Γαλάται κατέδραμον τὴν ἰωνίαν καὶ τὰς πόλεις
ἐπόρθουν, ἐν μιλήτω θεσμοφορίων ὄντων καὶ
συνηθροισμένων γυναικῶν ἐν τῶ ἱερῶ ὃ βρα-
χὺ τῆς πόλεως ἀπέχει· ἀποσπασθέν τι μέρος
τοῦ βαρβαρικοῦ διῆλθεν εἰς τὴν μιλησίαν·
καὶ ἐξαπιναίως ἐπιδραμὸν ἀνεῖλε τὰς γυ-
ναῖκας· ἔνθα δὴ τὰς μὲν ἐρρύσαντο πολὺ ἀρ-
γύριόν τε καὶ χρυσίον ἀντιδόντες· τινὰς δὲ
τῶν βαρβάρων αὐταῖς οἰκειωθέντων, ἀπή-
χθησαν· ἐν δὲ αὐταῖς καὶ ἡρίππη γυνὴ ξάν-
θου, ἀνδρὸς ἐν μιλήτω πάνυ δοκίμου
γένους τε τοῦ πρώτου, παιδίον ἀπολιποῦσα
διετές· ταύτης πολὺν πόθον ἔχων ὁ ξάνθος
ἐξηργυρίσατο μέρος τῶν ὑπαρχόντων καὶ
κατασκευασάμενος χρυσοῦς δισχιλίους τὸ μὲν
πρῶτον εἰς ἰταλίαν ἐπεραιώθη· ἔνθεν δὲ
ὑπὸ ἰδιοξένων κομιζόμενος εἰς μασ-
σαλίαν ἀφικνεῖται· κἀκεῖθεν εἰς τὴν κελτι-
κήν· καὶ προσελθὼν τῆ οἰκία ἔνθα αὐτοῦ
συνῆν ἡ γυνὴ ἀνδρὶ τῶν μάλιστα παρὰ κελτοῖς
δοξαζομένων· ὑποδοχῆς ἐδεῖτο τυχεῖν· τῶν
δὲ διὰ φιλοξενίαν ἑτοίμως αὐτὸν ὑποδεξα-
μένων, εἰσελθὼν ὁρᾶ τὴν γυναῖκα· καὶ αὐτὸν
ἐκείνη τὼ χεῖρε ἀμφιβαλοῦσα, μάλα φιλοφρό-
νως προσηγάγετο· παραχρῆμα δὲ τοῦ κελτοῦ
παραγενομένου, διεξῆλθεν αὐτῶ τήν τε ἄ-
λην ἡ ἡρίππη, καὶ ὡς αὐτῆς ἕνεκα
ἥκοι λύτρα καταθησόμενος· ὁ δὲ ἠγάσθη
τῆς ψυχῆς τὸν ξάνθον· καὶ αὐτίκα συνουσίαν
ποιησάμενος τῶν μάλιστα προσηκόντων, ἐξέ-
νιζεν αὐτόν· παρατείνοντος δὲ τοῦ πότου, τὴν
γυναῖκα συγκατακλίνει αὐτῶ· καὶ δι' ἑρμη-
νέως ἐπυνθάνετο, πηλίκην οὐσίαν εἴη κεκτη-

ἹΣΤΟΡΕΙ ἈΡΙΣΤΟΔΗΜΟΣ Ὁ ΝΥΣΑΕΥΣ ἘΝ Α΄ ἹΣΤΟΡΙῶΝ ΠΕΡΙ
ΤΟΥΤΩΝ, ΠΛΗΝ ὉΤΙ ΤΑ ὈΝΟΜΑΤΑ ὙΠΑΛΛΑΤΤΕΙ· ἈΝΤΙ ΤῊ-
ΡΙΠΠΗΣ ΚΑΛῶΝ ΕΥΘΥΜΙΑΝ, ΤΟΝ ΔΕ ΒΑΡΒΑΡΟΝ ΚΑΥΑΡΑΝ·

μένος τὴν σιωπῶσαν. τοῦ δὲ τὸν ἀριθμὸν χιλί-
ων χρυσῶν ἐφήσαντος, ὁ Κάρμαρος τά τε παρα-
μέρη καταμένειν αὐτὸν ἐκέλευε· καὶ τὰ μέτρια
ὑπεξαιρεῖσθαι αὐτῷ ἐν γυναιξὶ παιδίοις· τὸ δὲ
τέταρτον ἀπορ... ἀπὸ ἱματίων γυναικὸς ὅσ-
δε δοκεῖ τοῦ ποτε ἀποφράσει· πολλὰ κατε-
μένει τὸν Ξάνθον ἐγγυᾶν, διὰ τὸ μὴ ἔχον
τοσοῦτο χρυσίον ὑποσχέσθαι τῷ Καρμάρῳ·
καὶ μὴ δαπανᾶσθαί τε αὐτόν· ἀμύνεσθαι δὲ τὴν
ἐπαγγελίαν. τοῦ δὲ ἐφήσαντος ἐν ταῖς ἱερῆ-
σι τῶν παίδων καὶ ἄλλους τινὰς χιλίους χρυ-
σοῦς κελεύεσθαι· διὰ τὸ μὴ ἐλέγξειν ἐπ᾽ ἐκεί-
νων Κάρμαρον καταλείπεσθαι. δεήσιν δὲ
πολλῶν μητρῶν, καὶ μὴ τὴν ἱερὰν αἰτεῖν τοῖς κε-
ντοῖς καταλιμπάνεσθαι τὸ πλῆθος τοῦ χρυσοῦ· καὶ πα-
ρεκελεύσατο κτεῖναι τὸν Ξάνθον, φάσκουσα
πολὺ μᾶλλον αἱρεῖσθαι αὐτόν, τῆς τε πατρίδος
καὶ τοῦ παιδίου· τὸν μὲν γὰρ Ξάνθον, πάντα
πᾶσιν ἀποτίσειν· τοῖς δὲ ἄρα, ὁ ὑπὲρ ὅσον κό-
σμον παρεχθέντα· ἐμμένοι δὲ ἄχρι ἂν τῆς τί-
σθαι. ἐπεὶ δὲ δὴ ὁ Ξάνθος ἀπούδαζεν ἀπῆ-
ναι, μάλα σφίσι φρονοῦντος πρὸς τὴν ἐπιμέλειαν
τος ἐπαγόμενος καὶ τὴν κρίσιν· ὅσος δὲ ἐπὶ
τοὺς ὅρους τῆς κατὰ τὴν χώραν ἀφίκετο, θεὸς
ἂν ὁ Κάρμαρος ἐκέλευσε καὶ ἐκέλευσε ...
τοὺς ἀπαλλάξειν χωρισθῆναι· καὶ κομισθέν-
τος ἔργου τὴν κρίσιν ἐκέλευσεν ἀπηγγέλ-
σθαι· τῆς δὲ κατασχούσης ὅσον καὶ ἄλλο τι σὺ
μνησθῇ αὐτῇ, ἐπαναστὰς ... τὸ ξίφος,
καθῆκε ... καὶ τὴν κεφαλὴν αὐτῆς ἀφαι-
ρεῖ· τῷ τε Ξάνθῳ περιελεύσεσθαι ... φορεῖν,
ἐξαγαγὼν τὴν ἐπὶ κουρὴν αὐτῆς· ἐπέρχε-
ται τὸ χρυσίον ἅπαν ... αὐτῷ :~

περὶ Πολυκρίτης· θ΄

καθ' ὃν δὲ χρόνον ἐπὶ Ναξίους Μιλήσιοι συνέβη-
σαν σὺν ἐπικούροις· καὶ ταχὺ πρὸ τῆς πόλε-
ως στρατοπεδευσάμενοι τήν τε χώραν ἔτεμνον·
καὶ καθείρξαντες τοὺς Ναξίους ἐφρούρουν·
τότε παρθένος ἀπολειφθεῖσα κατά τινα δαί-
μονα ἐν Δηλίῳ ἱερῷ ὃ πλησίον τῆς πόλεως
κεῖται· Πολυκρίτη ὄνομα· αὐτὴν τὸν τῶν Ἐρυθραί-
ων ἡγεμόνα Διόγνητον εἷλεν· ὃς ἰδίαν δύνα-
μιν ἔχων συνεμάχει τοῖς Μιλησίοις· πολλῷ δὲ
ἐνεχόμενος πόθῳ διεπέμπετο πρὸς αὐτήν·
οὐ γὰρ δή γε θέμις ἦν ἱκέτιν οὖσαν ἐν τῷ ἱε-
ρῷ βιάζεσθαι· ἡ δὲ ἕως μέν τινος οὐ προσίετο
τοὺς παραγινομένους· ἐπεὶ μέντοι πολὺς ἐνέ-
κειτο, οὐκ ἔφη πεισθήσεσθαι αὐτῷ εἰ μὴ ὀμόσει-
εν ὑπηρετήσειν αὐτῇ ὅ τι ἂν βουληθῇ· ὁ δὲ Διό-
γνητος οὐδὲν ὑποτοπήσας τοιοῦτον μάλα προ-
θύμως ὤμοσεν Ἄρτεμιν χαριεῖσθαι αὐτῇ ὃ ἂν προ-
αιρῆται· κατομοσαμένου δὲ ἐκείνου, λαβο-
μένη τῆς χειρὸς αὐτοῦ ἡ Πολυκρίτη μιμνή-
σκεται περὶ προδοσίας τοῦ χωρίου καὶ πολλὰ κα-
θικετεύει αὐτήν τε οἰκτεῖραι καὶ τὰς συμφορὰς
τῆς πόλεως· ὁ δὲ Διόγνητος ἀκούσας τοῦ λόγου
ἐκτός τε ἐγένετο αὐτοῦ καὶ σπασάμενος τὴν μά-
χαιραν ὥρμησε διεργάσασθαι τὴν κόρην· ἐν
νῷ μέντοι λαβὼν τὸ εὔγνωμον αὐτῆς καὶ ἅμα
ὑπ' ἔρωτος κρατούμενος· ἔδει γὰρ ὡς ἔοικε καὶ
Ναξίοις μεταβολὴν γενέσθαι τῶν παρόντων κα-
κῶν· τότε μὲν οὐδὲν ἀπεκρίνατο βουλευόμενος
τί ποιητέον εἴη· τῇ δ' ὑστεραίᾳ καθωμολογή-
σατο προδώσειν· καὶ ἐν τούτῳ τοῖς Μιλησίοις
ἑορτὴ μετὰ τρίτην ἡμέραν Θαργήλια ἐπῄει·
ἐν ᾗ πολύν τε ἄκρατον ἐμφοροῦνται· καὶ τὰ
πλείστου ἄξια καταναλίσκουσι· τότε παρεσκευά-

Ἡ ἱστορία αὕτη εἴληπται ἐκ τῆς α΄ Ἀνδρίσκου Ναξιακῶν· γράφει περὶ αὐτῆς καὶ Θεόφραστος ἐν τῷ δ΄ πρὸς τοὺς καιρούς.

ζειν προδιδόναι τὸ χωρίον· καὶ δὴ θέμενος διὰ τῆς
Πολυκρίτης ἐνθέμενος ἐς ἄρτον μολυβδί-
νην ἐπιστολὴν τοῖς ἀδελφοῖς αὐτῆς· ἐτύγχα-
νον δὲ ἄρα τῆς πόλεως ἡγεμόνες οὗτοι·
ὅπως ἐς ἐκείνην τὴν νύκτα παρασκευα-
σάμενοι κίωσιν· σημεῖον δὲ αὐτοῖς ἀνασχήσειν
αὐτὸς ἔφη λαμπτῆρα· καὶ τῇ Πολυκρίτῃ δὲ
τῷ κομίζοντι τὸν ἄρτον ἔφραζεν εἰπεῖν δὲ
τοῖς ἀδελφοῖς μὴ ἐνδοιάσαι· ὡς τῆς πρά-
ξεως ἐπὶ τέλος ἀχθησομένης· τῶν δὲ ἐκείνων
ἐνδοιασθέντων· τοῦ δὲ ἀγγέλου ταχέως εἰς τὴν
πόλιν ἐπανελθόντος· Πολυκλῆς ὁ τῆς Πολυκρί-
της ἀδελφὸς, ἐν πολλῇ φροντίδι ἐγίνετο.
εἴτε πεισθείη τοῖς ἐπεσταλμένοις εἴτε μή· τέ-
λος δὲ ὡς ἐδόκει πᾶσι πείθεσθαι, καὶ νὺξ ἐ-
πῆλθεν ἐν ᾗ προσετέτακτο πᾶσι παραγίνε-
σθαι· πολλὰ κατευξάμενοι τοῖς θεοῖς, δεχο-
μένων αὐτοὺς τῶν ἀμφὶ Διόγνητον· εἰσπίπτου-
σιν ἐς τὸ τεῖχος τῶν Μιλησίων οἱ μέν τινες κατὰ
τὴν ἀνεῳγμένην πυλίδα· οἱ δὲ καὶ τὸ τεῖχος
ὑπερβεβηκότες. ἀθρόοι τε ἐντὸς γενόμενοι κα-
τέκαινον τοὺς Μιλησίους· ἔνθα δὴ κατὰ ἄγνοι-
αν ἀποθνήσκει καὶ Διόγνητος· τῇ δὲ ἐπιού-
σῃ οἱ Νάξιοι πάντες, ἐπεμνώοντο μάχον ἱλάσα-
σθαι τὴν κόρην· καὶ οἱ μὲν ταινίαις αὐτὴν, μίτραις
ἀνέδουν· οἱ δὲ ζώναις· ὅσαις καὶ ἐθλάσθη ἡ παῖς διὰ
πλῆθος τῶν ἐπιρριπτουμένων, ἀπεπνίγη·
καὶ αὐτὴν δημοσίᾳ θάπτουσιν ἐν τῷ πε-
δίῳ, πάντα δὲ κατὰ τὸν ἐναγίσαντες αὐτῇ· φα-
σὶ δέ τινες, καὶ Διόγνητον ἐν τῷ αὐτῷ κα-
ῆναι ἐν ᾧ καὶ κηπαῖος, σπουδασάντων Ναξίων:

Ἐν δὲ Θεσσαλίᾳ Κυάνιππος υἱὸς Φάρακος,
μάλα καλῆς παιδὸς ἐς ἐπιθυμίαν ἐλθὼν

ἡ τὴν μολυβδί-
νην ἐπιστολήν

περὶ Λευκώνης

ὁ

ἐνθένδε· παρ' αὐτῶν ἀπ' ἑσπέραν αἰτησάμενος αὐ
τὴν, ἠγάγετο γυναῖκα· ἦν δὲ, ἐρρωμένως κυνηγὸς·
μεθ' ἡμέραν μὲν, ἐπί τε λέοντας καὶ κάπρους
ἐφεπόμενος· νύκτωρ δὲ, κατῄει πάνυ κεκμηκὼς
πρὸς τὴν κόρην· ὥστε μηδὲ διαλεγόμενον αὐτῇ
τυγχάνειν αὐτὴν, ὡς κατὰ τὸν ὕπνον καταφέ
ρεσθαι. ἡ δ' ἄρα ὑπό τε ἀνίας καὶ ἀηδόνων
συνεχομένη, ἐν πολλῇ ἀμηχανίᾳ ἦν· σπου
δήν τε ἐποιεῖτο κατασκέψασθαι τὸν κυάνιππον,
ὅ,τι ποιῶν ἥδοιτο τῆς κατ' ὄρος διαίτης· αὐτί
κα δὲ ἀναζωσαμένη, κρύφα τῶν θερα
παινίδων, ἐς τὴν ὕλην καταδύνει· αἱ δὲ τοῦ
κυανίππου κύνες, ἐδίωκον μὲν ἐξαφθεῖσαι
δὲ οὖσαι πάνυ κάρτα ἄγριαι, ἀπὸ δὲ λιβέλων ἐκ πολλοῦ κυνηγίου μέ
ναι, ὡς ὠσφρήσαντο τῆς κόρης· ἐπηνέχθη
σαν αὐτῇ· καὶ μηδενὸς παρόντος, πᾶσαν διέ
σπάραξαν· καὶ ἡ μὲν διὰ τὸν πόθον ἀνδρὸς κουρι
δίου, ταύτῃ τέλος ἔσχε· κυάνιππος δὲ ὡς ἐ
πελθὼν κατέλαβε λελωβημένην τὴν γυναῖ
κα, μεγάλως τε ἄχει ἐπλήσθη· καὶ ἀνακα
λεσάμενος τοὺς ἀμφ' αὐτὸν, ἐκείνην μὲν πυρὰν
νήσας ἐπέθετο· αὐτὸς δὲ πρῶτον μὲν τὰς κύ
νας ἐπικατέσφαξε τῇ πυρᾷ· ἔπειτα δὲ πολ
λὰ ἀποδυρόμενος τὴν παῖδα, διεχρήσατο ἑ
αυτόν: περὶ δὲ καύνου καὶ βυβλίδος

Περὶ βυβλίδος ια

Τῶν μιλήτου παίδων, διαφόρως ἱστορεῖται· νι
καίνετος μὲν γάρ φησι τὸν καῦνον ἐρασθέντα
τῆς ἀδελφῆς, ὡς οὐκ ἔληγε τοῦ πάθους,
ἀπολιπεῖν τὴν οἰκίαν καὶ ὁδεύσαντα πόρρω
τῆς οἰκείας χώρας, πόλιν τε κτίσαι· καὶ τοὺς
ἀπεσκεδασμένους τότε ἴωνας ἐνοικίσαι. λέ
γει δὲ ἔπεσι τοῖσδε· αὐτὰρ ὅ γε προτέρωσε
κιὼν οἰκούσιον ἄστυ, κτίσσατο τραγασίῳ δὲ κελαι

ἱστορεῖ ἀριστόκριτος περὶ μιλήτου καὶ ἀπολλώνιος
ὁ ῥόδιος καύνου κτίσει:

ναι μὲν ἔας ἄχθος παιδὶ, κὴν οἱ καῦνον ἐπικλεένας
ἐφιλέοντα θέμιστας· νήματο δ' ἐραδαλκῶσ-
εναλίγκιον ἀρκάσθοισι· νηλεῖ δ' αἰτῆς κείτοιᾶ-
ελκων κραάατο καῦνος· ἡ δ' εὐφερὲν δ' ἰος
ἐφ' ἄγνον ὃ ἐφίασ δ' ἐκάτωρον· καὶ κάτωρος ἐγ-
γενὰς καὶ καριαίγραμε ἔρα ἐνθ' ἐκ τοῖ πολε-
θρον ἐν δ' ἄσμα τὸ πρωτὸς ἰωμ ωμ αὐτῇ· δ' ἔγγυα
τηκομένον ὃς οἱ τὸν ἔχουσαι κινυμάς, αὐτὸς πρό-
τερον καύνου ἀδέφατον ὄφρον· οἱ δὲ πλείους
τὴν βυβλίδα φασὶν ἐρασθεῖσαν τοῦ καύνου,
λόγους αὐτῷ προσφέρειν καὶ δεῖσθαι μὴ περι-
ιδεῖν αὐτὴν εἰς πᾶν κακὸν προελθοῦσαν· ÷÷
ἀποστυγήσαντα δὲ οὕτως τὸν καῦνον, περαι-
ωθῆναι εἰς τὴν τότε ὑπὸ λελέγων κατεχομέ-
νην γῆν· ἔνθα κρήνη ÷ ἐχενηίς· πόλιν τε κτί-
σαι τὴν ἀπ' αὐτοῦ κληθεῖσαν καῦνον· τὴν δὲ
ἄρα ὑπὸ τοῦ πάθους μὴ ἀνιεμένην, πρὸς δὲ καὶ
δοκοῦσαν αἰτίαν γεγονέναι καύνῳ τῆς ἀπαλ-
λαγῆς, ἀναψαμένην ἀπό τινος δρυὸς τὴν μί-
τραν, ἐνθεῖναι τὸν τράχηλον· λέγεται δὲ καὶ
παρ' ἡμῖν οὕτως· ἡ δ' ὅτε δὴ ὀλοοῖο κασιγνήτου
νόον ἔγνω, κλαῖεν ἀηδονίδων θαμινώτερον, αἵ
τ' ἐνὶ βήσσαις σιθονίῳ κούρῳ πέρι μυρίον αἰά-
ζουσιν· καί ῥα κατὰ στυφελοῖο σαρωνίδος αὐ-
τίκα μίτρην ἁψαμένη, δειρὴν ἐνεθήκατο· ταὶ
δ' ἐπ' ἐκείνῃ βεύδεα παρθενικαὶ μιλησίδες
ἐρρήξαντο: φασὶ δέ τινες, καὶ ἀπὸ τῶν
δακρύων, κρήνην ῥυῆναι ἰδίᾳ τὴν καλουμέ-

ΙΒ νην βυβλίδα: λέγεται δὲ καὶ κίρκης

περὶ κάλχου

πρὸς ἣν ὁ ὀδυσσεὺς ἦλθε· δαύνιόν τινα κάλχον
ἐρασθῆναι· τήν τε βασιλείαν ἐπιτρέπειν τὴν
δαυνίων αὐτῇ, καὶ ἄλλα πολλὰ μειλίγματα
παρέχεσθαι· τὴν δὲ ὑποκαιομένην ὀδυσσέως

τότε γὰρ ἐτύγχανεν παρών· ἀπεστύγει τε αὐ-
τόν· καὶ κωλύειν ἐπιβαίνειν τῆς νήσου· ἐπεὶ
μέντοι οὐκ ἀνίει φοιτῶν καὶ διὰ στόματος ἔχων
τὴν κίρκην, μάλα ἀχθεσθεῖσα, ὑπέρχεται αὐτὸν
καὶ αὐτίκα εἰσκαλεσαμένη, τράπεζαν αὐτῷ
παντοδαπῆς βορᾶς πλήσασα, παρατίθη-
σιν· ἦν δὲ ἄρα φαρμάκων ἀνάπλεω τὰ ἐδέ-
σματα· φαγὼν τε ὁ κάλχος, εὐθέως παραπλὴξ
γίνεται, καὶ αὐτὸν ἤλασεν εἰς συφεούς· ἐπεὶ μέν-
τοι μετὰ χρόνον δαύνιος στρατὸς ἐπέσχε τὴν
νῆσον ζήτησιν ποιούμενος τοῦ κάλχου,
μεθίησιν αὐτὸν πρότερον ὁρκίοις κατα-
δησαμένη, μὴ ἀφίξεσθαί ποτε εἰς τὴν νῆ-
σον· μήτε μνηστείας, μήτε ἄλλου του χάριν:

Περὶ Ἁρπαλύκης ιγ

Κλύμενος δὲ ὁ τελέως· ἐν ἄργει γήμας ἐπικά-
στην, γεννᾷ παῖδας· ἄρρενας μὲν, ἴδαν καὶ
θήραγρον· θυγατέρα δὲ, ἁρπαλύκην, πολὺ
τι τῶν ἡλίκων θηλειῶν κάλλει διαφέρουσαν·
ταύτης δὲ ἐς ἔρωτα ἐλθών· χρόνον μέν τινα ἐ-
καρτέρει· καὶ περιῆν τοῦ παθήματος· ὡς δὲ
πολὺ μᾶλλον αὐτὸν ὑπέρρει τὸ νόσημα· τότε διὰ
τῆς τροφοῦ κατεργασάμενος τὴν κόρην· λα-
θραίως αὐτῇ συνῆλθεν· ἐπεὶ μέντοι γάμου
καιρὸς ἦν· καὶ παρῆν ἀλάστωρ εἷς τῶν νηλειδῶν
ἀξόμενος αὐτὴν ᾧ καθωμολόγητο· παραχρῆ-
μα μὲν ἐνεχείρισε πάνυ λαμπροὺς γάμους
δαίσας· μεταγνοὺς δὲ οὐ πολὺ ὕστερον διὰ
τὸ ἐκφρονεῖν, καταθεῖ τὸν ἀλάστορα· καὶ πε-
ρὶ μέσην ὁδὸν αὐτῶν ἤδη ὄντων, ἀφαιρεῖται τὴν
κόρην· ἀγόμενός τε ἐς ἄργος, ἀναφανδὸν αὐ-
τῇ ἐμίσγετο· ἡ δὲ δεινὰ καὶ ἔκνομα πρὸς τοῦ
πατρὸς ἀξιοῦσα πεπονθέναι, τὸν νεώτερον
ἀδελφὸν κατακόπτει· καί τινος ἑορτῆς καὶ

ἱστορεῖ εὐφορίων θρᾳκί, καὶ δεκτάδας

θυσίας τῶν παρ᾽ Ἀργείοις τελουμένης, ἐν ᾗ δημο-
σίᾳ πάντες εὐωχοῦνται, καὶ τότε σκευάσασα
τὰ κρέα τοῦ παιδός, παρατίθησι τῷ πατρί·
καὶ ταῦτα δράσασα αὐτὴ μὲν ἀξαμένη θεοῖς
ἐξ ἀνθρώπων ἀπαλλαγῆναι, μεταβάλλει τὴν
ὄψιν εἰς χαλκίδα ὄρνιν· Κλύμενος δέ, ὡς ἐνενόησε τὰς συμ-
φοράς, διαχρῆται ἑαυτόν:

ιδ. Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς ἐκ βασιλείου — περὶ ἀνθέως
γένους ὡμήρευε παρὰ Φοβίῳ, ἑνὶ τῶν Νηλει-
δῶν, τότε κρατοῦντι Μιλήτου. τούτου Κλεό-
βοια, ἣν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φο-
βίου γυνή, ἐρασθεῖσα, πολλὰ ἐμηχανᾶτο
προσαγαγέσθαι τὸν παῖδα. ὡς δὲ ἐκεῖνος
ἀπεωθεῖτο, ποτὲ μὲν φάσκων ὀρρωδεῖν μὴ
κατάδηλος γένοιτο, ποτὲ δὲ Δία Ξένιον καὶ
κοινὴν τράπεζαν προϊσχόμενος, ἡ Κλεόβοια
κακῶς φερομένη, ἐν νῷ εἶχε τίσασθαι αὐτόν, ἀ-
νηλεῆ τε καὶ ὑπέραυχον ἀποκαλοῦσα.
ἔνθα δὴ χρόνου προϊόντος, τοῦ μὲν ἔρωτος
ἀπηλλάχθαι προσεποιήθη· πέρδικα δὲ τι-
θασὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα, ἐδεῖτο
τοῦ Ἀνθέως ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν.
τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν
ὑφορᾶσθαι, ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ
πέτρον. καὶ ὁ μὲν παραχρῆμα ἐτεθνήκει· ἡ δὲ
ἄρα ἐννοηθεῖσα ὡς δεινὸν ἔργον δεδράκοι,
καὶ ἄλλως δὲ καιομένη σφοδρῷ ἔρωτι τοῦ
παιδός, ἀναρτᾷ ἑαυτήν. Φοβίος μέντοι διὰ
ταύτην τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε
Φρυγίῳ τὴν ἀρχήν. ἔφασαν δέ τινες οὐ πέρ-
δικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι,
ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται ἐν τοῖσδε ἐν Ἀπόλλωνι·
παῖς Ἱπποκλῆος Φόβιος Νηληιάδαο ἔσται ἰθαιγενέων

ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά.

γενέων γνήσιος ἐκ πατέρων· τῷ δ' ἄλοχος
μνηστὴ δόμον ἵξεται ἧς ἔτι νύμφης· κεραίας
τ' ἐν θαλάμοισι καρομένη ἀτομένην ἀσκήσουσι καὶ
στελκὸς ἐζᾶ ὄφαι ἑλκόμενος Ἀνθεύς· ὁρκιόμενη
ῥῆς κοτιφῶσι κοσάμενος· προθέλυμνος ἔαρος
θαλερώτερος· οὐδὲ μεθ' ἵεται ὑπερκύνης τοῖον
δ' ἀζεφέστι κοιον ὕδωρ· θεσμὸς μέγαν υἱὸν ἀφ' οὗ
μέγα χάρμα κορίνθῳ ἄζαι· καὶ ἱεροῖς ἀγ
γεῦ καλχιόλαις· Ἀνθεὺς ἔρμα κιταχ ἰμῶ ἰφί
ζος ἐστὶ ἰνίψφ κήμα ἰνὸς ἀφ' ἀρχῆς τὸν μεθ'
ζα· στον ἔρων καὶ ἐλαφαίας μένης γοῦν ὧν
τέζαται κομμαται ποῦ ὁ δὲ ξείνα ξένιον
αἰδόμενος· σπονδὰς τὲν φοιτοῦ καὶ ἀζυ
γέων ἀθανάτων, κρήναις καὶ ποταμοῖς· μὴ
τῇ δὲ ἐκ σύζης κυδὸν παρ ἀρυκίταις μεζόνων
μονάγγεος ἀνθεύς· δῖτοτεοι τάζ ἐκτι
ὁ ἐρυτὰ λόγον· μύθοις ἐξαπαφουσά λόγος δὲ
οἱ δ' ἐφαίουτος γαυλὸς μοι χρύσεος ἐκ φρέα
τος ἐκμυχάτου· νῦν δ' ὅ γ' ἂν ἐξ ἰόμενος· δια
μὲν καὶ ὑπὲρ ἰχνεύουσα καὶ τὸς δ' αὐ ἐφ' ἡμᾶς·
οἱ χεῖρες δ' ὑδρίαδας· πρὸς θεῶν ἀλλά μοι ἑσσὼ
καὶ πάσι ναΐου ὑπὲρ κεῖ διάκνοι μου τοῦ δ' ἐμεῖναι
σοῦ μίου· ἡ θεὸς ὡς ἄμβροτοι τοιᾶν μάλα φιλτάτος ἦκ·
ὁ δὲ μέγα κεφουκίου· μάλα ἄλλα δ' ἄμαρ· ἐφ' ἕζα
ἔδοσαν ἐφράσθη σώματος μὲν ζεύγνυσιν ἐν μακελ
προσέκοσ· ἔργον ἐθήκατο ἐχραμένη κοι αὐτὸς δὲ
αὐδῶν κοίζον κατὰ ἀνακῶς ἀγκος ἐφ' ἑατος
κάλοισι σημαμοδωσαν ἐμὴν· ἀμφοτέραις χερ
σὶν ἀναιρεῖ λαρὰ ἀνθεὺς· καὶ τὸ μὲν ἕξ
νῶν πολλόν ἀπὸ γνώτατος ἐκρίον ὄγκοισι τὸ με
μορμύρον κόλπων δ' ἐκρίν ἀξαμένη σύν τοι κεῖ
σε ἐς Ἀΐδην:

περὶ Δάφνης ιε

Περὶ δὲ τῆς Ἀμύκλα θυγατρός, τάδε λέγεται· Δάφνης ἐκ τὸ μὲν ἅ

Ἡ ἱστορία παρὰ Διοδώρῳ τῷ Ἐλαΐτῃ ἐν ἐλεγείαις
καὶ Φυλάρχῳ ἐν ιε:

πάμπαν ἐς πόλιν οὐ κατῄει· οὐδ᾽ ἀνεμίσγετο ταῖς
λοιπαῖς παρθένοις· παρασκευασαμένη δὲ
πολλοὺς κύνας, ἐθήρευεν· ἔστιν ὅτε καὶ ἐν τῇ λακωνι
κῇ καὶ ἐπιφοιτῶσα εἰς τὰ λοιπὰ τῆς πελοπον
νήσου ὄρη· δι᾽ ἣν αἰτίαν μάλα κατάθυμος ἦν τῇ
ἀρτέμιδι· καὶ αὐτὴν εὔστοχα βάλλειν ἐποίει· ταύ
της περὶ τὴν ἡλικίαν ἀνθούσης· λεύκιππος οἰ
νομάου παῖς ἐς ἐπιθυμίαν ἦλθε· καὶ τὸ μὲν
ἄλλως πως αὐτῆς πειρᾶσθαι ἀπέγνω· ἀμφι
εσάμενος δὲ γυναικείαις ἀμπεχόναις· καὶ
ὁμοιωθεὶς κόρῃ συνεθήρα αὐτῇ· ἔτυχε δέ πως
αὐτῇ κατὰ νοῦν γενόμενος, οὐ μεθίει τε αὐ
τὸν, ἀμφιπεσοῦσά τε καὶ ἐξηρτημένη πᾶσαν
ὥραν. ἀπόλλων δὲ καὶ αὐτὸς τῆς παιδὸς πόθῳ
καιόμενος, ὀργῇ τε καὶ φθόνῳ εἴχετο, τοῦ λεύ
κιππου συνόντος· καὶ ἐπὶ νοῦν αὐτῇ βάλλει σὺν
ταῖς λοιπαῖς παρθένοις ἐπὶ κρήνην ἐλθού
σαις, λούσασθαι· ἔνθα δὴ ὡς ἀφικόμεναι ἀπεδι
δύσκοντο καὶ ἑώρων τὸν λεύκιππον μὴ βουλόμε
νον, περιέρρηξαν αὐτόν· μαθοῦσαι δὲ τὴν ἀ
πάτην καὶ ὡς ἐπεβούλευεν αὐταῖς, πᾶσαι μεθί
εσαν ἐς αὐτὸν τὰς αἰχμάς· καὶ ὁ μὲν κατὰ θε
ῶν βούλησιν ἀφανὴς γίνεται· ἀπόλλωνα δὲ
δάφνη ἐπιόντα προϊδομένη, μάλα ἐρ
ρωμένως ἔφευγεν· ὡς δὲ συνεδιώκετο, παρὰ
διὸς αἰτεῖται ἐξ ἀνθρώπων ἀπαλλαγῆναι· καὶ
αὐτήν φασι γενέσθαι τὸ δένδρον, τὸ ἐπικλη
ιϛ θὲν ἀπ᾽ ἐκείνης δάφνην: ἐλέχθη δὲ καὶ περὶ λαοδίκης
περὶ λαοδίκης, ὁ δὲ λόγος ὅσοι ἄρα παραγενόμε
νοι ἐπὶ ἑλένης ἀπαίτησιν διομήδους καὶ ἀ
κάμαντος, πολλὴν ἐπιθυμίαν ἔσχε μιγῆ
ναι παντάπασι νέῳ ὄντι ἀκάμαντι· καὶ μέχρι
μέν τινος, ὑπ᾽ αἰδοῦς κατείχετο· ὕστερον δὲ

ἱστορεῖ ἡγήσιππος μιλησιακῶν α´·

νικωμένην ὑπὸ τοῦ πάθους, ἀνακοινώσασθαι
Περσέως γυναικὶ Φιλοβίῃ, αὐτὴν ὀδυρομένη· πα-
ρακαλεῖν τε αὐτὴν ὅσον οὐκ ἤδη διοιχομέ-
νην ἀρῆξαι αὐτῇ. κατοικτείρουσα δὲ τὴν
συμφορὰν τῆς κόρης, δεῖται τοῦ Περσέως ὅ-
πως συνεργὸς αὐτῇ γένηται· ὁ δὲ ξεναγεῖ ξε-
νίαν καὶ φιλότητα τίθεσθαι, πρὸς τὸν Ἀκά-
μαντα. τὸν Περσέα δὲ, τὸ μὲν καὶ τῇ γυναικὶ
χαριζόμενος ἁρμόδιος εἶναι· τὸ δὲ καὶ τὴν
Λαοδίκην οἰκτείρων, πᾶσαν μηχανὴν ἐπὶ τὸν
Ἀκάμαντα ἐς Δάρδανον ἀφικέσθαι ποιῆσαι·
καθίστατο γὰρ ὕπαρχος τοῦ χωρίου. ἦλθε
καὶ Λαοδίκη ὡς ἑορτὴν τινὰ σὺν ἄλλαις
τῶν Τρωιάδων παρθένος οὖσα. ἔνθα δὴ
παντοδαπὴν θοίνην ἑτοιμασάμενος, συγ-
κατακλίνει καὶ τὴν Λαοδίκην αὐτῷ ἐφά-
μενος μίαν εἶναι τῶν τοῦ βασιλέως παλλακί-
δων. καὶ Λαοδίκη μὲν οὕτως ἐξέπλησε τὴν
ἐπιθυμίαν· χρόνου δὲ προϊόντος γίνεται
τῷ Ἀκάμαντι υἱὸς Μούνιτος, ὃν ὑπ' Αἴθρας τρα-
φέντα μετὰ Τροίας ἅλωσιν διεκόμισεν ἐπ' οἴκου·
καὶ αὐτὸν θηρώμενον ἐν Ὀλύνθῳ τῆς Θρᾴκης
ὄφις ἀνεῖλεν:

ΙΖ Περὶ τῆς Περιάνδρου μητρός:

Λέγεται δὲ καὶ Περίαν-
δρον τὸν Κορίνθιον, τὴν μὲν ἀρχὴν ἐπιεικῆ
τε καὶ πρᾶον εἶναι· ὕστερον δὲ φονικώτερον
γενέσθαι δι' αἰτίαν τήνδε· ἡ μήτηρ αὐτοῦ κο-
μιδῇ νέου ἐπιθυμίᾳ πολλῇ κατείχετο· καὶ τέως ἀνε-
πίμπλατο, περιπλεκομένη τῷ
παιδί· προϊόντος δὲ τοῦ χρόνου, τὸ πάθος
ἐπὶ μεῖζον ηὔξετο· καὶ κατέχειν τὴν νόσον οὐκέ-
τι οἵα τε ἦν, ἕως ἀποτολμήσασα προσφέρει λό-
γους τῷ παιδί, ὡς αὐτοῦ γυνή τις ἐρῴη τῶν πά-
νυ καλῶν· παρεκάλει τε αὐτὸν μὴ περιορᾶν αὐτὴν

περαιτέρω καταξαινομένην· ὁ δὲ τὸ μὲν πρῶ-
τον, οὐκ ἔφη φθερεῖν ἐζευγμένην γυναῖκα
ὑπό τε νόμων καὶ ἐθῶν· λιπαρῶς δὲ προσκει-
μένης τῆς μητρὸς, συγκατατίθεται· καὶ ἐπεὶ
δὴ νὺξ ἐπῆν εἰς ἣν ἐτέτακτο τῷ παιδί, προεῖ-
πεν αὐτῷ, μήτε φῶς ἀναφαίνειν ἐν τῷ θα-
λάμῳ, μήτε ἀναγκάζειν αὐτὴν ἐπάγειν, πρὸς τὸ δια-
λεχθῆναί τι· ἐπιπροσθέσθαι γὰρ αὐτὴν ὑπ' αἰδοῦς·
καθομολογησαμένου δὲ τοῦ Περιάνδρου, πάν-
τα ποιήσειν κατὰ τὴν ὑφήγησιν τῆς μητρός,
ὡς ὅτι κράτιστα αὐτὴν ἀσκήσασα, εἰσέρχεται πα-
ρὰ τὸν παῖδα· καὶ πρὶν ἢ ὑποφαίνειν ἕω, λαθραί-
ως ἐξέρχεται· τῇ δ' ὑστεραίᾳ ἀναπυνθανομένης
αὐτῆς εἰ κατὰ νοῦν αὐτῷ γένοιτο, καὶ εἰ αὖτις
λέγοι αὐτὴν παρ' αὐτὸν ἀφικέσθαι, ὁ Περίανδρος
σπουδάζειν τε ἔφη, καὶ ἡσθῆναι οὐ μετρίως· ὡς
δὲ τοῦτο οὐκ ἀνίει φοιτῶσα πρὸς τὸν παῖδα,
καί τις ἔρως ἐπῄει τὸν Περίανδρον, ἤδη σπου-
δὴν ἐτίθετο γνωρίσαι τὴν ἄνθρωπον ἥτις ἦν· καὶ
ἕως μέν τινος, ἐδεῖτο τῆς μητρὸς, ἐξικετεῦσαι
ἐκείνην, ὅπως τε εἰς λόγους αὐτῷ ἀφίκοιτο.
καὶ ἐπειδὴ εἰς πολὺν πόθον ἐπαγάγοιτο αὐτόν,
δηλὴ ποτὲ γένηται· νυνὶ δὲ παντάπασιν ἀ-
γνώμονα πάσχειν, διὰ τὸ μὴ ἐφεῖσθαι αὐ-
τῷ καθορᾶν, τὴν ἐκ πολλοῦ χρόνου συνοῦσαν
αὐτῷ· ἐπεὶ δὲ ἡ μήτηρ ἀπεῖργεν, αἰτιωμένη
τὴν αἰσχύνην τῆς γυναικός, κελεύει τινὰ τῶν
ἀμφ' αὐτὸν οἰκετῶν, λύχνα κατακρύψαι· τῆς
δὲ κατὰ τὸ σύνηθες ἀφικομένης, καὶ μελ-
λούσης κατακλίνεσθαι, ἀναδραμὼν ὁ Περίαν-
δρος, ἀναιρεῖ τὸ φῶς· καὶ κατιδὼν τὴν μη-
τέρα, ὥρμησεν ἐπὶ τὸ διεργάσασθαι αὐτήν· κα-
τασχεθεὶς δὲ ὑπό τινος δαιμονίου φαντάσματ

τος, ἀπετράπετο· καὶ ἀπὸ τούτου παραπλὴξ ἦν νοῦν
τε καὶ φρένας· κατέσκηψέ τε εἰς ὠμότητα·
καὶ πολλοὺς ἀπέσφαξε τῶν πολιτῶν· ἡ δὲ
μήτηρ πολλὰ κατολοφυραμένη τὸν ἑαυτῆς
δαίμονα, ἀνεῖλεν ἑαυτήν :

περὶ νεαίρας ιη̅

Ὑψικρέων δὲ
μιλήσιος καὶ προμέδων ὁ νάξιος, μάλιστα φίλω
ἤστην. ἀφικομένου οὖν ποτε προμέδοντος εἰς
μίλητον, θατέρου γυνὴ νέαιρα ἐρα-
σθῆναι αὐτοῦ· καὶ παρόντος μὲν τοῦ ὑψι-
κρέοντος, μὴ τολμᾶν αὐτὴν διαλέγεσθαι τῷ
ξένῳ· μετὰ δὲ χρόνον, τοῦ μὲν ὑψικρέοντος τυγ-
χάνοντος ἀποδημοῦντος· ὁ δὲ αὖθις ἀφίκετο, νύκτωρ
αὐτοῦ κοιμωμένου ἐπεισέρχεται ἡ νέαιρα· καὶ
πρῶτον μὲν ἀνέπειθεν αὐτόν· ἐπειδὴ δ' ἐκεῖ-
νος οὐκ ἐβούλετο, δία τε ἑταιρῆον καὶ
ξένιον αἰδούμενος, προσέταξεν ἡ νέαιρα
ταῖς θεραπαίναις ἀποκλεῖσαι τὸν θάλαμον·
καὶ οὕτως πολλὰ ἐπαγωγὰ ποιούσης, ἠναγ-
κάσθη μιγῆναι αὐτῇ. τῇ μέντοι ὑστεραίᾳ
δεινὸν ἡγησάμενος εἶναι τὸ πραχθέν, ᾤχετο
πλέων ἐπὶ τῆς νάξου· ἔνθα καὶ ἡ νέαιρα δεί-
σασα τὸν ὑψικρέοντα, διέπλευσεν εἰς νάξον·
καὶ ἐπειδὴ αὐτὴν ἐξῄτει ὁ ὑψικρέων, ἱκέτις
προσκαθέζετο ἐπὶ τῆς ἑστίας τῆς ἐν τῷ πρυτα-
νείῳ. οἱ δὲ νάξιοι λιπαροῦντι τῷ ὑψικρέοντι
ἐκδώσειν μὲν οὐκ ἔφασαν, ἐκέλευον μέντοι πεί-
σαντα αὐτὴν ἄγεσθαι. δόξας δὲ ὁ ὑψικρέων ἀ-
σεβεῖσθαι, πείθει μιλησίους πολεμεῖν τοῖς
ναξίοις :

περὶ παγκράτους ιθ̅

σκέλλις τε καὶ κασσάμενος ἑκή-
τορος οἱ θρᾷκες, ὁρμήσαντες ἀπὸ νήσου τῆς
πρότερον μὲν στρογγύλης, ὕστερον δὲ νάξου κλη-
θείσης, ἐλῄζοντο μὲν τήν τε πελοπόννησον
καὶ τὰς πέριξ νήσους· προσσχόντες δὲ θεσσα-

μαι· πολλάς τε ἄλλας γυναῖκας κατέσυραν· ἐν
δὲ καὶ τὴν ἀλωέως γυναῖκα ἰφιμέδειαν, καὶ
θυγατέρα αὐτῆς παγκράτω· ἧς ἀμφότεροι
ἐς ἔρωτα ἀφικόμενοι, ἀλλήλους κατέκτειναν:

περὶ αἰροῦς

κ λέγεται δὲ καὶ οἰνοπίωνος καὶ νύμφης ἑλίκης,
αἰρὼ κόρην γενέσθαι· ταύτης δὲ ὠρίωνα τὸν ὑ-
ριέως ἐρασθέντα· παρ' αὐτοῦ παραιτεῖσθαι τὴν
κόρην· καὶ δι' αὐτὴν τήν τε νῆσον ἐξημε-
ρῶσαι, τότε θηρίων ἀνάπλεων οὖσαν, λείαν τε
πολλὴν περιελαύνοντα τῶν προσχώρων, ἕδνα διδό-
ναι· τοῦ μέντοι οἰνοπίωνος ἑκάστοτε ὑπερτι-
θεμένου τὸν γάμον, διὰ τὸ ἀποστυγεῖν αὐτῷ γαμ-
βρὸν τοιοῦτον γενέσθαι· ὑπὸ μέθης ἔκφρονα
γενόμενον τὸν ὠρίωνα, κατᾶξαι τὸν θάλαμον·
καὶ ἔνθα ἡ παῖς ἐκοιμᾶτο· καὶ βιαζόμενον ἐκ-
καῆναι τοὺς ὀφθαλμοὺς ὑπὸ τοῦ οἰνοπίωνος:

περὶ πεισιδίκης

κα λέγεται δὲ καὶ ὅτε ἀχιλλεὺς πλέων τὰς προσε-
χεῖς τῇ ἠπείρῳ νήσους ἐπόρθει· προσχεῖν
αὐτὸν λέσβῳ· ἐνθαδὴ καθ' ἑκάστην τῶν πόλε-
ων αὐτὸν ἐπιόντα, κεραΐζειν· ὡς δὲ οἱ μηθυ-
μναῖοι κουνιε μάλα καρτερῶς ἀντεῖχον· καὶ
ἐν πολλῇ ἀμηχανίᾳ ἦν διὰ τὸ μὴ δύνασθαι
ἑλεῖν τὴν πόλιν· πεισιδίκην τινὰ μηθυμναί-
αν — τοῦ βασιλέως θυγατέρα, θεασαμένην ἀ-
πὸ τοῦ τείχους τὸν ἀχιλλέα, ἐρασθῆναι αὐτοῦ·
καὶ οὕτως τὴν τροφὸν διαπεμψαμένην, ὑπο-
σχέσθαι ἐγχειριεῖν αὐτῷ τὴν πόλιν· εἴ γε
μέλλοι αὐτὴν γυναῖκα ἕξειν· ὁ δὲ τὸ μὲν παραυ-
τίκα, καθωμολογήσατο· ἐπεὶ μέντοι ἐγκρατὴς
πόλεως ἐγένετο· νεμεσήσας ἐπὶ τῷ δρασθέν-
τι, προὐτρέψατο τοὺς στρατιώτας καταλεῦσαι
τὴν κόρην· μέμνηται τοῦ πάθους τοῦδε· καὶ
ὁ τὴν λέσβου κτίσιν ποιήσας, ἐν τοῖσδε: ἔνθα

δὲ πηλείδης κατὰ μὲν κτάνε λάμπετον ἥρω·
ἐκ δ᾽ ἱκετάονα πέφνε· ἐν μηθυμναίου γένος λεπετύμνου
υἱέα μηθύμνης τε καὶ ἀλκιμώτατον ἄλλων· αὐτο-
κασίγνητον ἑλικάονος ἔνδοθι πάτρης· τη-
μῆκον ὑψίπυλον· θαλερὴ δέ μιν ἄασε κύπρις·
ἡ γὰρ ἐπ᾽ αἰακίδῃ κούρην φρένας ἐπτοίησεν πει-
σιδίκην ὅτε τόν γε μετὰ προμάχοισιν ἀχαιῶν·
χάρμῃ ἀγαλλόμενον θηέσκετο· πολλὰ δ᾽ ἐς ὑγρὴν
ἠέρα χεῖρας ἔτεινεν ἐελδομένη φιλότητος·
ἄταρ μικρὸν ὑπὸ κας· δέξατο μὲν αὐτίκα λαὸν ἀ-
χαιικὸν ἔνδοθι πάτρης, παρθενικὴ κληῖδας
ὑποχλίσασα πυλάων· ἔτλη δ᾽ οἷσιν ἰδέσθαι ἑῶν
ἐφ᾽ ὀφθαλμοῖσι τοκῆας χαλκῷ ἐληλαμένους καὶ
δούλια δεσμὰ γυναικῶν· ἑλκομένων ἐπὶ νῆ-
ας, ὑποσχεσίης ἀχιλῆος ὄφρα νυὸς γλαυκῆς
θέτιδος πέλοιτο φρασσοι κέν μιν πενθεροὶ αἰακίδαι·
φθίῃ δ᾽ ἐνδόθι μαται ναίοι ἀνδρὸς ἀριστῆος ἀ-
νυτὴ δάμαρ· οὐδ᾽ ὅγε μέλλ᾽ ἄρ᾽ ἐξ ἣ μόροιο ἰδέσθαι
γαίης ἐκ πατρίδος οἱ τοῖς ἐνὶ αἰνότατον γά-
μον ἧσι δὲ πελείας ἀργείων ὑπὸ χερσὶ δυσάμ-
μορος· οἱ μὲν ἔθεντο πάρ᾽ οὐδέ ἐνὶ θαμινῆσιν
ἀράσσοντες ἐν θαλάσσῃ:

περὶ νανίδος κβ

Ἔφασαν δέ τινες καὶ τὴν σαρδίων ἀκρόπολιν ὑπὸ κύρου τοῦ περσῶν βασιλέως ἁλῶναι, προδούσης τῆς κροίσου θυγατρὸς νανίδος· ἐπειδὴ γὰρ ἐπολιόρκει σάρδεις κῦρος· καὶ οὐδὲν αὐτῷ εἰς ἅλωσιν τῆς πόλεως προὔβαινεν, ἐν πολλῷ τε δέει ἦν μὴ ἀθροισθὲν τὸ συμμαχικὸν αὐτῆς τῷ κροίσῳ διαλύσειεν αὐτῷ τὴν στρατιάν· τότε τὴν παρθένον ταύτην εἶχε λόγος περὶ προδοσίας συνθεμένην τῷ κύρῳ, εἰ κατὰ νόμους περσῶν ἕξει γυναῖκα αὐτήν· κατὰ τὴν ἀκρώρειαν μηδενὸς ἐκφυλάσσοντος δι᾽ ὀχυρότητα τοῦ χωρίου.

ἡ τοῦ κροίσου θυγάτηρ

ἡ ἱστορία παρὰ λικυμνίῳ τῷ χίῳ μελοποιῷ καὶ ἑρμησιάνακτι:

ἐπιδέχεσθαι τοὺς πολεμίους συνεργῶν αὐτῇ
καὶ ἄλλων τινῶν ἀγγελομένων, τὸν μέντοι Κῦρο-
μὴ ἐμπεδῶσαι αὐτῇ τὴν ὑπόσχεσιν.

ΚΓ — Περὶ Χειλωνίδος

Κλεώ-
νυμος ὁ Λακεδαιμόνιος βασιλείου γένους ὢν
καὶ πολλὰ κατορθωσάμενος Λακεδαιμονί-
οις, ἔγημε Χειλωνίδα προσήκουσαν αὐτῷ
καταγενόμενος· ταύτης σφοδρῶς ἐπιτεταμένου
τοῦ Κλεωνύμου, καὶ τὸν ἔρωτα οὐκ ἠρέμα φέ-
ροντος, τοῦ μὲν κατηλόγει, ὅλη δὲ ἐνέκειτο
Ἀκροτάτῳ τῷ τοῦ βασιλέως υἱεῖ· καὶ γὰρ
ὁ μειρακίσκος ἀναφανδὸν αὐτῆς ὑπεκέκαυτο, ὥσ-
τε πάντας ἀνὰ στόμα ἔχειν τὴν ὁμιλίαν αὐτῶν·
δι' ἣν αἰτίαν δυσανασχετήσας ὁ Κλεώνυμος,
καὶ ἄλλως δὲ οὐκ ἀρεσκόμενος τοῖς Λακεδαι-
μονίοις ἤθεσιν, ἐπεραιώθη πρὸς Πύρρον εἰς
Ἤπειρον· καὶ αὐτὸν ἀναπείθει πειρᾶσθαι τῆς Πε-
λοποννήσου, ὡς εἰ καὶ ἐντόνως ἅψαιντο τοῦ πο-
λέμου, ῥᾳδίως ἐκπολιορκήσοντας τὰς ἐν αὐ-
τῇ πόλεις· ἔφη δὲ καὶ αὐτῷ τι ἤδη προδι-
ειργάσθαι, ὥστε καὶ στάσιν ἐγγενέσθαι τισὶ τῶν
πόλεων.

ΚΔ — Περὶ Ἱππαρίνου

Ἱππαρῖνος δὲ ὁ Συρακοσίων
τύραννος, ἐς ἐπιθυμίαν ἀφίκετο πάνυ καλοῦ παι-
δός· Ἀχαιὸς αὐτῷ ὄνομα· τοῦτον ἐξαλλάγμασι
πολλοῖς ὑπαγόμενος, πείθει τὴν οἰκίαν ἀπολι-
πόντα σὺν αὐτῷ μένειν· χρόνου δὲ προϊόντος,
ὡς πολεμίων τις ἔφοδος προσηγγέλθη πρός
τινα τῶν ὑπ' ἐκείνου κατεχομένων χωρίων, καὶ
ἔδει κατὰ τάχος βοηθεῖν, ἐξορμῶν ὁ Ἱππαρῖνος
παρεκελεύσατο τῷ παιδί, εἴ τις ἔνδον βιάζοιτο, κατακαίνειν αὐτὸν τῇ σπάθῃ,
ἣν ἐτύγχανεν αὐτῷ κεχαρισμένος· καὶ ἐπειδὴ
συμμίξας τοῖς πολεμίοις κατὰ κράτος αὐτοὺς
εἷλεν, ἐπὶ πολὺν οἶνον ἐτράπετο καὶ συνουσίαν·

Ἱστορεῖ Φύλαρχος

ἐπειγόμενος δὲ ὑπὸ μέθης καὶ πόθου τοῦ παι-
δὸς, ἀφίησιν ἐπὶ τὰς στρατιωτικάς. καὶ πα-
ραγενόμενος ἐπὶ τὴν νῆσον καὶ ἅμ᾽ ἐνθάδε τῷ παιδὶ πα-
ρεκελεύσατο μένειν, ὃς ἐμελλεν ἥκειν οὐκ ἐκ δήλου. ἐπι-
ταράζοντα δὲ τὴν φωνὴν τοῦ Ἱππαρίνου ἐκεῖνον
ἀποκτείνειν κελεῦσαι. ὁ δὲ παῖς διαναπαλαίσας
σκότους ὄντος, παίει καιρίαν τὸν Ἱππαρῖνον. ὁ
δὲ τρεῖς ἡμέρας ἐπιβιοὺς, καὶ τοῦ φόνου τὸν Ἀ-
χαιὸν ἀπολύσας, ἐτελεύτησεν: Φάϋλλος δὲ

περὶ Φαΰλλου κε

Τύραννος ἠράσθη τῆς Ἀρίστωνος γυναικὸς, ὃς Οἰ-
ταίων προεστήκει. οὗτος διαπεμπόμενος
πρὸς αὐτὴν, χρυσόν τε πολὺν καὶ ἄργυρον ἐ-
πηγγέλλετο δώσειν· εἴ τινος ἄλλου δέοιτο,
ἐφράζειν ἐκέλευεν, ὡς οὐχ ἁμαρτησομένην· ἡ
δ᾽ ἄρα πολὺ ἔχετο πόθου ὅρμου, τοῦ τότε κειμέ-
νου ἐν τῷ τῆς Προνοίας Ἀθηνᾶς ἱερῷ, ὃν ἀνέχε-
λόγος Ἐριφύλης γενέσθαι· ἠξίου τε ταύτης
τῆς δωρεᾶς τυχεῖν. Φάϋλλος δὲ τά τε ἄλλα
κατασύρων ἐκ Δελφῶν ἀναθήματα, ἀναιρεῖται
καὶ τὸν ὅρμον. ἐπεὶ δὲ διεκομίσθη ἐς οἶκον τὸν
Ἀρίστωνος, χρόνον μέν τινα ἐφόρει αὐτὸν ἡ γυ-
νὴ, μάλα περίβλεπτος οὖσα. μετὰ δὲ ταῦτα πα-
ραπλήσιον αὐτῇ πάθος συνέβη τῷ περὶ τὴν
Ἐριφύλην γενομένῳ· ὁ γὰρ νεώτερος τῶν υἱῶν
αὐτῆς μανεὶς, τὴν οἰκίαν ὑφῆψε· καὶ τήν τε μη-
τέρα καὶ τὰ πολλὰ τῶν κτημάτων κατέφλεξε:

περὶ Ἀπριάτης κς

Ἐν Λέσβῳ παιδὸς Ἀπριάτης, Τράμβηλος ὁ Τελα-
μῶνος ἐρασθεὶς, πολλὰ ἐποιεῖτο εἰς τὸ προσαγα-
γέσθαι τὴν κόρην. ὡς δὲ ἐκείνη οὐ πάνυ ἐνεδί-
δου, ἐνενοεῖτο δόλῳ καὶ ἀπάτῃ περιγενέσθαι
αὐτῆς. πορευομένην οὖν ποτε σὺν θεραπαινι-
δίοις ἐπί τι τῶν πατρῴων χωρίων, ὃ πλησίον,
τῆς θαλάσσης ἔκειτο, λοχήσας εἷλεν. ὡς δὲ

Ἱστορεῖ Εὐφορίων Θρᾳκί

ἐκείνη πολὺ μᾶλλον ἀπεμάχετο περὶ τῆς παρ-
θενίας· ὀργισθεὶς δὲ τράμβηλος ἔρριψεν αὐτὴν
εἰς τὴν θάλασσαν· ἐτύγχανε δὲ ἀγχιβαθὴς
οὖσα. καὶ ἡ μὲν ἄρα οὕτως ἀπολώλει. τινὲς μέν-
τοι ἔφασαν διωκομένην ἑαυτὴν ῥῖψαι. τράμβη-
λον δὲ οὐ πολὺ μετέπειτα τίσις ἐλάμβανεν ἐκ
θεῶν· ἐπειδὴ γὰρ ἀχιλλεὺς ἐκ τῆς λέσβου πολ-
λὴν λείαν ἀποτεμόμενος ἤγαγεν, οὗτος ἐπα-
γομένων αὐτὸν τῶν ἐγχωρίων βοηθὸν, συ-
νίσταται αὐτῷ· ἔνθα δὴ πληγεὶς εἰς τὰ στέρνα,
παραχρῆμα πίπτει. ἀγάμενος δὲ τῆς ἀλ-
κῆς αὐτὸν ἀχιλλεὺς, ἔτι ἔμπνουν ἀνέκρινεν
ὅστις τε εἴη καὶ ὁπόθεν· ἐπεὶ δὲ ἔγνω παῖδα
τελαμῶνος ὄντα, πολλὰ κατοδυρόμενος, ἐπὶ
τῆς ἠιόνος μέγα χῶμα ἔχωσε· τοῦτο ἔτι νῦν
ἡρῷον τραμβήλου καλεῖται:

κζ περὶ ἀλκινόης

ἔχει δὲ λό-
γος καὶ ἀλκινόην τὴν πολύβου μὲν τοῦ κορίν-
θου θυγατέρα, γυναῖκα δὲ ἀμφιλόχου τοῦ
δρύαντος, κατὰ μῆνιν ἀθηνᾶς ἐπιμανῆναι
ξένῳ σαμίῳ· ξάνθος αὐτῷ ὄνομα. ἐπὶ μισθῷ
γὰρ αὐτὴν ἀγαγομένην χερνῆτιν γυναῖκα
νικάνδρην καὶ ἐργασαμένην ἐνιαυτὸν, ὕστε-
ρον ἐκ τῶν οἰκίων ἐλάσαι μὴ ἐντελῆ τὸν μισθὸν
ἀποδοῦσαν· τὴν δὲ ἀράσασθαι πολλὰ ἀθηνᾷ,
τίσασθαι αὐτὴν ἀντ᾽ ἀδίκου στερήσεως· ὅθεν ἐς
τοσοῦτον ἐλθεῖν, ὥστε ἀπολιπεῖν οἶκόν τε καὶ
παῖδας ἤδη γεγονότας, συνεκπλεῦσαί τε
τῷ ξάνθῳ· γενομένην δὲ κατὰ μέσον πόρον,
ἔννοιαν λαβεῖν τῶν εἰργασμένων· καὶ αὐτίκα
πολλά τε δάκρυα προΐεσθαι, καὶ ἀνακαλεῖν ὁ-
τὲ μὲν ἄνδρα κουρίδιον, ὁτὲ δὲ τοὺς παῖδας.
τέλος δὲ πολλὰ τοῦ ξάνθου παρηγοροῦντος, καὶ
φαμένου γυναῖκα ἕξειν, μὴ πειθομένην, ῥῖ-

ἱστορεῖ ἀριστόκριτος ἐν τοῖς περὶ μιλήτου

ἱστορεῖ μοιρὼ ἐν ταῖς ἀραῖς

περὶ κλείτης κη'

ται ταύτην ἐς θάλασσαν: Διαφόρως δὲ ἱσ-
τορεῖται περὶ κυζίκου τοῦ αἰνέου· οἱ μὲν γὰρ αὐ-
τὸν ἔφασαν ἁρμοσάμενον λάρισαν τὴν πιάσου.
ἣν ὁ πατὴρ ἐμίγη πρὸ γάμου, μαχόμενον ἀπο-
θανεῖν· τινὲς δὲ προσφάτως γήμαντα κλεί-
την, συμβαλεῖν δι' ἄγνοιαν τοῖς μετ' ἰάσονος ἐ-
πὶ τῆς ἀργοῦς πλέουσι· καὶ οὕτως πεσόντα,
πᾶσι μὲν ἀλγεινὸν πόθον ἐμβαλεῖν·
ἐξόχως δὲ τῇ κλείτῃ· ἰδοῦσα γὰρ αὐτὸν ἐρ-
ριμμένον, περιεχύθη· καὶ πολλὰ κατωδύ-
ρατο· νύκτωρ δὲ λαθοῦσα τὰς θεραπαινίδας,
ἀπό τινος δένδρου ἀνήρτησεν·

περὶ δάφνιδος κθ'

ἱστορεῖ τίμαιος σικελικοῖς: π

Ἐν σικε-
λίᾳ δὲ δάφνις ἑρμοῦ παῖς ἐγένετο· σύριγγι δὲ
τε δεξιῶς χρήσασθαι· καὶ τὴν ἰδέαν ἐκπρε-
πής· οὗτος εἰς μὲν τὸν πολὺν ὅμιλον ἀνδρῶν οὐ
κατῄει· βουκολῶν δὲ κατὰ τὴν αἴτνην χεί-
ματός τε καὶ θέρους ἠγραύλει· τούτου λέγουσι
ἐχεναΐδα νύμφην ἐρασθεῖσαν, παρακελεύσα-
σθαι αὐτῷ γυναικὶ μὴ πλησιάζειν· μὴ πειθο-
μένου γὰρ αὐτοῦ, συμβήσεσθαι τὰς ὄψεις ἀπο-
βαλεῖν· ὁ δὲ χρόνον μέν τινα καρτερῶς ἀντεῖ-
χεν· καίπερ οὐκ ὀλίγων ἐπιμαινομένων αὐ-
τῷ· ὕστερον δὲ μία τῶν κατὰ τὴν σικελίαν βα-
σιλίδων οἴνῳ πολλῷ δηλησαμένη αὐτὸν, ἤ-
γαγεν ἐς ἐπιθυμίαν αὐτῇ μιγῆναι· καὶ οὗτος
ἐκ τοῦδε ὁμοίως θαμύρᾳ τῷ θρᾳκὶ δι' ἀφρο-
σύνην ἐπεπήρωτο:

περὶ κελτίνης λ'

Λέγεται δὲ καὶ ἡρακλέα
ὅτε ἀπ' ἐρυθείας τὰς γηρυόνου βοῦς ἤγαγεν, ἀλώ-
μενον διὰ τῆς κελτῶν χώρας, ἀφικέσθαι πα-
ρὰ βρεταννόν· τῷ δὲ ἄρα ὑπάρχειν θυγατέρα,
κελτίνην ὄνομα· ταύτην δὲ ἐρασθεῖσαν τοῦ
ἡρακλέους, κατακρύψαι τὰς βοῦς· μὴ θέλειν
τε ἀποδοῦναι· εἰ μὴ πρότερον αὐτῇ μιχθῆναι·

τὸν δὲ Ἡρακλέα τὸ μέν τι καὶ τὰς βοῦς ἐπειγό-
μενον ἀνασώσασθαι, πολὺ μᾶλλον μέντοι τὸ κάλ-
λος ἐκπλαγέντα τῆς κόρης, συγγενέσθαι αὐτῇ·
καὶ αὐτοῖς χρόνου περιήκοντος γενέσθαι παῖ-
δα Κελτόν, ἀφ' οὗ δὴ Κελτοὶ προσηγορεύθησαν:

ὅθεν καὶ Κελτοὶ τὸ ἔθνος οὕτω λέγεται:

περὶ Διμοίτου

λα Λέγεται δὲ καὶ Διμοίτην ἁρμόσασθαι μὲν Τροιζη-
νίαν τὴν ἀδελφοῦ θυγατέρα, αἰσθανόμε-
νον δὲ συνοῦσαν αὐτὴν κρύφα τῷ
ἀδελφῷ Τροιζῆνι, τὴν δὲ διὰ τὸ
δέος καὶ αἰσχύνην ἀναρτῆσαι αὐτήν, πολλὰ
πρότερον καταρασαμένην τῷ αἰτίῳ
τῆς συμφορᾶς. ἔνθα δὴ τὸν Διμοίτην μετ' οὐ πο-
λὺν χρόνον ἐπιτυχεῖν γυναικὶ μάλα καλῇ τὴν
ὄψιν, ὑπὸ τῶν κυμάτων ἐκβεβλημένῃ· καὶ
αὐτῆς ἐς ἐπιθυμίαν ἐλθόντα συγγίνεσθαι. ὡς δὲ
ἤδη ἐνεδίδου τὸ σῶμα διὰ μῆκος χρόνου,
χῶσαι αὐτῇ μέγαν τάφον, καὶ οὕτως μὴ ἀνιέ-
μενον τοῦ πάθους, ἐπὶ κατασφάξαι αὐτόν:

περὶ Ἀνθίππης

λβ Παρὰ δὲ Χάοσι μειράκιόν τις τῶν πάνυ δοκί-
μων Ἀνθίππης ἠράσθη· ταύτην ὑπελθὼν πάσῃ
μηχανῇ πείθειν ἐπειρᾶτο· ἡ δ' ἄρα
καὶ αὐτὴ οὐκ ἀπεστρέφετο τὸν παῖδα, ἐκ τού-
του ἐλάνθανον τοὺς αὐτῶν γο-
νεῖς, ἐκπιμπλάντες τὴν ἐπιθυμίαν. ἑορτῆς δὲ
ποτε τοῖς Χάοσι δημοτελοῦς ἀγομένης, καὶ
πάντων ἀθρόων εὐωχουμένων, ἀποσκεδασθέντες εἴς
τινα δρυμὸν κατεκλίθησαν. ἔτυχε δὲ ἄρα
ὁ τοῦ βασιλέως υἱὸς Κίχυρος πάρδαλιν διώκων,
ἧς συνελασθείσης εἰς ἐκεῖνον τὸν δρυμόν, ἀφί-
ησιν ἐπ' αὐτὴν τὸν ἄκοντα· καὶ τῆς μὲν ἁμαρτά-
νει, τυγχάνει δὲ τῆς παιδός. ὑπολαβὼν δὲ τὸ
θηρίον καταβεβλῆσθαι, ἐγγυτέρω τὸν ἵππον
προσελαύνει· καὶ καταμαθὼν τὸ μειράκιον ἐπὶ

ἱστορεῖ Ξάνθος Λυδιακοῖς· καὶ Νεάνθης β'· καὶ Σιμμίας ὁ Ῥόδιος·

τοῦ τραύματος τῆς παιδὸς ἔχοντος χεῖρε· ἐκτὸς
τε φρενῶν γενόμενος καὶ περιδινηθείς, ἀπολισθά-
νει τοῦ ἵππου εἰς χωρίον ἀπόκρημνον καὶ πε-
τρῶδες· ἔνθα δὴ ὁ μὲν ἐτεθνήκει· οἱ δὲ Χάονες
τιμῶντες τὸν βασιλέα, κατὰ τὸν αὐτὸν τόπον
τεῖχη περιεβάλοντο· καὶ τὴν πόλιν ἐκάλεσαν
Κίχυρον. φασὶ δέ τινες τὸν δρυμὸν ἐκεῖνον
εἶναι, τῆς Ἐχίονος θυγατρὸς Ἠπείρου· ἣν με-
ταναστᾶσαν ἐκ Βοιωτίας, καὶ ἰοῦσαν μεθ' Ἁρμο-
νίας καὶ Κάδμου, φερομένην τὰ Πενθέως λεί-
ψανα· ἀποθανοῦσαν δὲ περὶ τὸν δρυμὸν τόν-
δε, ταφῆναι· διὸ καὶ τὴν γῆν Ἤπειρον ἀπὸ ταύ-
της ὀνομασθῆναι:

ση(μείωσαι) πόθεν ἡ γῆ Ἤπειρος ἐκλήθη

περὶ Ἀσσάονος λγ'

Διαφόρως δὲ καὶ
τοῖς πολλοῖς ἱστορεῖται καὶ τὰ Νιόβης· οὐ γὰρ Ταν-
τάλου φασὶν αὐτὴν γενέσθαι· ἀλλ' Ἀσσάονος μὲν
θυγατέρα, Φιλόττου δὲ γυναῖκα· ἐς ἔριν δὲ
ἀφικομένην Λητοῖ, περὶ καλλιτεκνίας, ὑπο-
σχεῖν τίσιν τοιάνδε· τὸν μὲν Φίλοττον, ἐν κυ-
νηγίᾳ διαφθαρῆναι· τὸν δὲ Ἀσσάονα τῆς
θυγατρὸς πόθῳ σχόμενον, αὐτὴν αὑτῷ γήμα-
σθαι· μὴ ἐνδιδούσης δὲ τῆς Νιόβης, τοὺς
παῖδας αὐτῆς ἐς εὐωχίαν καλέσαντα, κατα-
πρῆσαι· καὶ τὴν μὲν διὰ ταύτην τὴν συμφο-
ράν, ἀπὸ πέτρας ὑψηλοτάτης αὑτὴν ῥῖψαι· ἔν-
νοιαν δὲ λαβόντα τῶν σφετέρων ἁμαρτη-
μάτων, διαχρήσασθαι τὸν Ἀσσάονα ἑαυτόν:

ση(μείωσαι) τὰ περὶ Νιόβης ἄλλως ἱστορούμενα·

περὶ Κορύθου λδ'

Ἐκ δὲ Οἰνώνης καὶ Ἀλεξάνδρου, παῖς ἐγένετο
Κόρυθος· οὗτος ἐπίκουρος ἀφικόμενος εἰς Ἴλι-
ον, Ἑλένης ἠράσθη· καὶ αὐτὸν ἐκείνη μάλα φι-
λοφρόνως ὑπεδέχετο· ἦν δὲ τὴν ἰδέαν κρά-
τιστος· φωράσας δὲ αὐτὸν ὁ πατὴρ ἀνεῖλε· Νί-
κανδρος μέντοι τὸν Κόρυθον οὐκ Οἰνώνης,
ἀλλὰ Ἑλένης καὶ Ἀλεξάνδρου φησὶ γενέσθαι·

ἱστορεῖ Ἑλλάνικος Τρωϊκῶν· καὶ Κεφάλων ὁ Γεργίθιος·

ἱστορεῖ ἀσκληπιάδης ὁ μυρλεανὸς, βιθυνιακῶν α'

λέγων ἐν τούτοις· ἠρία τ' εἰν ἀΐδαο κατοιχομένου
κορύθοιο· ὅν τε καὶ ἁρπακτοῖσιν ὑποδμηθεῖσ'
ὑμεναίοις, τυνδαρὶς αἴν' ἀχέουσα κακὸν γόνον
ἤρατο βούτεω:

λε ἐν δὲ κρήτῃ ἠράσθη

περὶ εὐλιμένης

λύκαστος τῆς κύδωνος θυγατρὸς εὐλιμένης, ἣν
ὁ πατὴρ ἀπτέρῳ καθωμολόγητο, πρωτεύοντι
τότε κρητῶν· ταύτῃ κρύφα συνὼν ἐλελήθει.
ὡς δὲ τῶν κρητικῶν τινες πόλεων ἐπανισταμέ
νοι κύδωνι καὶ πολὺ περιῆσαν, ἔπεμπε τοὺς
πευσομένους εἰς θεοῦ, ὅ τι ἂν ποιῶν κρατήσει
ε τῶν πολεμίων· καὶ αὐτῷ θεσπίζεται τοῖς ἐγ
χωρίοις ἥρωσι σφαγιάσαι παρθένον· ἀκούσας
δὲ τοῦ χρηστηρίου κύδων, διεκλήρου τὰς παρ
θένους πάσας· καὶ κατὰ δαίμονα ἡ θυγά
τηρ τυγχάνει· λύκαστος δὲ δείσας περὶ αὐτῆς,
μηνύει τὴν φθορὰν· καὶ ὡς ἐκ πολλοῦ χρόνου
συνείη αὐτῇ· ὁ δὲ πολὺς ὅμιλος, πολὺ μᾶλλον
ἐδικαίου αὐτὴν τεθνάναι· ἐπεὶ δὲ ἐσφα
γιάσθη, ὁ κύδων τὸν ἱερέα κελεύει αὐτῆς δια
τεμεῖν τὸ ἐπομφάλιον, καὶ οὕτως εὑρέθη ἔγκυ
ος· ἄπτερος δὲ δόξας ὑπὸ λυκάστου δεινὰ πε
πονθέναι, λοχήσας αὐτὸν, ἀνεῖλε· καὶ διὰ ταύτην
τὴν αἰτίαν, ἔφυγε πρὸς ξάνθον εἰς τέρμερα:

λϛ λέγεται δὲ καὶ ῥῆσον, πρὶν εἰς τροίαν ἐπίκουρον ἐλ

περὶ ἀργανθώνης:

θεῖν, ἐπὶ πολλὴν γῆν ἰέναι· προσαγόμενόν τε
καὶ δασμὸν ἐπιτιθέντα· ἔνθα δὴ καὶ εἰς κίον ἀφι
κέσθαι κατὰ κλέος γυναικὸς καλῆς ἀργαν
θώνη αὐτῇ ÷ ὄνομα· αὕτη τὴν μὲν κατοικίαν
δίαιταν καὶ μονὴν ἀπέστυγεν· ἀθροισαμένη
δὲ κύνας πολλοὺς, ἐθήρευεν, οὐ μάλα τινὰ προ
σιεμένη· ἐλθὼν οὖν ὁ ῥῆσος εἰς τόνδε τὸν χῶρον
βίᾳ μὲν αὐτὴν οὐκ ἦγεν· σκήψας δὲ θηρᾶν αὐτῇ
συνεκυνήγει· καὶ αὐτὸς γὰρ ὁμοίως ἐκείνῃ τῇ

πρὸς ἀνθρώπους ὁμιλίαν ἐχθαίρειν· ἡ δὲ ταῦ
τα λέξαντος ἐκείνου, κατήνεσε· πιστεύσα
ν αὐτὸν ἀληθῆ λέγειν. χρόνου δὲ πολλοῦ δια
γενομένου· εἰς πολὺν ἔρωτα παραγίνεται τοῦ
Ῥήσου· καὶ τὸ μὲν πρῶτον ἡσυχάζει αἰδοῖ κα
τεχομένη· ἐπεὶ δὲ σφοδρότερον ἐγίνε
το τὸ πάθος, ἀπετόλμησεν εἰς λόγους ἐλθεῖν αὐ
τῷ· καὶ οὕτως ἐθέλων αὐτὴν ἐκεῖνος ἠγάγε
το γυναῖκα. ὕστερον δὲ πολέμου γενομένου
τοῖς Τρωσί, μετῄεσαν αὐτὸν οἱ βασιλεῖς ἐπί
κουρον. ἡ δὲ Ἀργανθώνη εἴτε καὶ δι' ἔρωτα ὃς
πολὺς ὑπῆν αὐτῇ, εἴτε καὶ ἄλλως καταμαντευο
μένη τὸ μέλλον, κατείργειν αὐτὸν οὐκ εἴα· Ῥῆσος δὲ
μαλακιζόμενος ἐπὶ τῇ μονῇ οὐκ ἠνέσχετο, ἀλλ'
ᾤχετο εἰς Τροίαν· καὶ μαχόμενος ἐπὶ ποταμῷ
τῷ νῦν ἀπ' ἐκείνου Ῥήσῳ καλουμένῳ πληγεὶς
ὑπὸ Διομήδους ἀποθνῄσκει. ἡ δὲ ὡς ᾔσθετο
τεθνηκότος αὐτοῦ, αὖτις ἀπεχώρησεν εἰς τὸν
τόπον, ἔνθα ἐμίγη πρῶτον αὐτῷ· καὶ περὶ
αὐτὸν ἀλωμένη θαμὰ ἐβόα τοὔνομα τοῦ Ῥή
σου· τέλος δὲ σῖτα καὶ ποτὰ μὴ προσιεμένη
διὰ λύπης ἐξ ἀνθρώπων ἀπηλλάγη :~: ~

ΠΑΡΘΕΝΙΟΥ ΝΙΚΑΕΩΣ

ΠΕΡΙ ΕΡΩΤΙΚΩΝ ΠΑΘΗΜΑΤΩΝ

ἀντωνίνου λιβεράλις μεταμορφώσεων συναγωγή

α – πελειάς
β – μελεαγρίδες
γ – ἱέραξ
ε – αἰγυπιοί
πῶϋγξ
αἰγίθαλλος
ς – αἰετός
φήνη
ζ – ἄνθος
ἐρωδιός
σχοινεύς
ἄκανθος
ἀκανθυλλίς
ὄκνος
κορυδός
θ – ἠμαθίδες
κολυμβίς
ἴϋγξ
κεγχρίς
κίσσα
χλωρίς
ἀκαλανθίς
νῆσσα
πιπώ
δρακοντίς
ι – νυκτερίς
γλαύξ
βύσσα
ια – ἁλιαιετός
ἀηδών
χελιδών

ἀλκυών
ἔποψ
πελεκάς
ιβ – κύκνοι
ιδ – τριόρχης
πιπώ
ὀρχίλος
αἴθυια
ιε – γλαύξ
βύσσα
χαραδριός
νυκτικόραξ
ις – γέρανος
ιη – ἡέροπος
ιθ – λάϊος
κελεός
κέρβερος
αἰγωλιός
κ – ὑπαιετός
κόραξ
πίφιγξ
αἰγίθαλλος
ἄρπη
ἄρπασος
κα – στύξ
λαγώς
γύψ
ἴπνη
κβ – κεράμβυξ
κα – ἀσκάλαβος

α — κτήσυλλα εἰς πελει-
άδα μετὰ θάνατον·
β — αἱ μελεάγρου ἀδελ-
φαὶ εἰς μελεαγρίδας·
γ — ἱέραξ εἰς ἱέρακα·
δ — κραγαλεὺς εἰς πέτρον·
ε — αἰγυπιὸς καὶ νεοφρὼν
εἰς αἰγυπιούς· βου-
λὶς εἰς πώϋγγα· τι-
μάνδρη εἰς αἰγίθαλ-
ς — λον· περίφας
εἰς αἰετόν· ἡ γυνὴ
αὐτοῦ εἰς φήνην·
ζ — ἄνθος ἐρωδιός· σχοι-
νεὺς ἄκανθος ἀκαν-
θυλὶς εἰς ὄρνεα ὁμώ-
νυμα· αὐτόνοος εἰς
ὄκνον· ἱπποδάμεια
εἰς κορυδόν· ὁ ἀκόλου-
θος ἄνθου εἰς ἐρωδιόν
η — ὀνέτερον· λαμί-
α ἢ σύβαρις εἰς πηγὴν
ὁμώνυμον σύβαριν·
θ — αἱ πιέρος[ρε] θυγατέρες
εἰς ὄρνιθας ὁμωνύ-
μους ἠμαθίδας· ἐστὶ
δ' αὐτῶν ὀνόματα τά-
δε· κολυμβὶς ἴϋγξ
κεγχρὶς κίσσα χλω-
ρὶς ἀκαλανθὶς νῆσ-
σα πιπὼ δρακοντίς·
ι — λευκίππη ἀρσίππη
ἀλκαθόη μινύου
θυγατέρες εἰς νυκτε-
ρίδα γλαῦκα βύζαν·
ια — πανδάρεος εἰς ἁλιάιε-
τον· ἀηδὼν καὶ χελι-
δονὶς εἰς τὰ ὁμώνυμα
ὄρνεα· ἡ μήτηρ τῆς
ἀηδόνος εἰς ἁλκυόνα·
ἀδελφὸς ἀηδόνος εἰς
ἔποπα· πολύτεχνος
ὁ ἀνὴρ αὐτῆς εἰς πε-
ιβ — λεκᾶνα· κύκνος
ἀπόλλωνος καὶ θυ-
ρίη ἡ μήτηρ αὐτοῦ εἰς
ιγ — κύκνους· ἀσπα-
λὶς εἰς ξόανον μετὰ
ιδ — θάνατον· μού-
νιχος εἰς τριόρχην κ(αὶ)
ἡ λάντη ἡ γυνὴ αὐ-
τοῦ εἰς πιπώ· τῶν παί-
δων αὐτοῦ ἄλκανδρος
εἰς ὀρχίλον, μεγαλή-
τωρ εἰς ἰχνεύμονα·
φίλαιος εἰς κύνα· ὑ-
περίππη εἰς αἴθυιαν·
ιε — μεροπὶς εἰς γλαῦκα·
βύσσα εἰς ὁμώνυμο(ν)
ὀρνιθάριον· ἄγρων
εἰς χαραδριόν· εὔμη-
λος εἰς νυκτικόρακα·
ις — οἰνόη εἰς γέρανον·
ιζ — λεύκιππος ἐκ θηλεί-
ιη — ας εἰς ἄρρενα· ἠέ-
ροπος εἰς ὄρνιθα ὁμώ-

ιθ — νυμον: Λάϊος
Κελεὸς Κέρβερος Αἰ-
γωλιός· εἰς ὁμώνυ-
κ — μους οἰωνούς: Κλει-
νὶς εἰς ὑπαίετον· Λύ-
κιος εἰς κόρακα· Ἀρτε-
μίχη εἰς πίφιγγα· Ὀρ-
τύγιος εἰς αἰγίθαλ-
λον· Ἅρπη καὶ Ἅρπα-
σος εἰς ὁμωνύμους
κα — ὄρνιθας: Πολυφό-
νη εἰς στύγα· Ὄρειος
εἰς λαγῶν· Ἄγριος εἰς
γῦπα· ἡ θεράπαινα
αὐτῶν εἰς ἴπνην:
κβ — Κέραμβος εἰς κεράμβυ-
κγ — κα: Βάττος εἰς πέ-
κδ — τρον: Ἀσκάλαβος
εἰς ζῷον ὁμώνυμον:
κε — Μητιόχη καὶ Μενίπ-
πη εἰς ἀστέρας κομή-
κϛ — τας: Ὕλας εἰς ἠχώ:
κζ — Ἰφιγένεια εἰς δαίμονα
καλούμενον Ὀρσιλόχην:
κη — Τυφῶν εἰς αἰάπυρον
μύδρον· Ἀπόλλων εἰς
ἱέρακα· Ἑρμῆς εἰς ἶβιν·
Ἄρης εἰς λεπιδωτὸν ἰ-
χθύν· Ἄρτεμις εἰς αἰ-
λουρον· Διόνυσος εἰς
τράγον· Ἡρακλῆς εἰς
ἔλλον· Ἥφαιστος εἰς
βοῦν· Λητὼ εἰς μυγα-

κθ — λῆν: Γαλινθιὰς
λ — εἰς γαλῆν: Βιβλὶς
εἰς ἁμαδρυάδα νύμ-
φην ὁμώνυμον:
λα — Μεσσάπιοι παῖδες εἰς
λβ — δένδρα: Δρυόπη
λγ — εἰς αἴγειρον: Ἀλ-
κμήνη εἰς λίθον· με-
λδ — τὰ θάνατον: Σμύρ-
να εἰς δένδρον ὁμώ-
λε — νυμον: Βουκόλοι
εἰς βατράχους:
λϛ — Πανδάρεος εἰς πέτρον:
λζ — Δωριεῖς οἱ μετὰ Διομή-
δους εἰς ὄρνιθας· μετὰ
λη — θάνατον: Λύκος
λθ — εἰς πέτρον: Ἀρσινό-
μ — η εἰς λίθον: Βριτόμαρ-
μαρτις εἰς ξόανον· Ἀ-
μα — φαίαν: Ἀλώπηξ
καὶ κύων εἰς λίθους:

κτήσυλλα α′ Κτήσυλλα, ἐγένετο κεία τὸ γένος ἐξ ἰουλίδος,
ἀλκιδάμαντος θυγάτηρ. ταύτην ἰδὼν ἑρ-
μοχάρης ἀθηναῖος χορεύουσαν πυθίοις πε-
ρὶ τὸν βωμὸν τοῦ ἀπόλλωνος ἐν καρθαίαι ἐπε-
θύμησεν αὐτῆς. καὶ ἐπιγράψας μῆλον ἔρρι-
ψεν ἐν τῶι ἱερῶι τῆς ἀρτέμιδος. ἡ δὲ ἀνείλετο.
καὶ ἀνέγνω. ἐγέγραπτο δὲ ὅρκος τῆς ἀρ-
τέμιδος. ἦ μὴν γαμηθήσεσθαι ἑρμοχάρει ἀ-
θηναίωι. ἡ μὲν οὖν κτήσυλλα ἀπέρριψε τὸ
μῆλον αἰδεσθεῖσα. καὶ χαλεπῶς ἤνεγκεν ὥσπερ
ὅτε κυδίππην ἀκόντιος ἐξηπάτησεν. ἑρμο-
χάρει δὲ αἰτησαμένωι, κατήνεσε τὸν γάμον
ὁ πατὴρ ὁ τῆς κτησύλλης. καὶ ὤμοσεν τὸν ἀ-
πόλλωνα τῆς δάφνης ἁψάμενος. ἐπεὶ δὲ δι-
ῆλθεν ὁ τῶν πυθίων χρόνος, ἀλκιδάμας ἐκ-
λαθόμενος τὸν ὅρκον ὃν ὤμοσεν, ἑτέρωι συνῴ-
κιζε τὴν θυγατέρα. καὶ ἡ παῖς, ἔθυεν ἐν τῶι τῆς
ἀρτέμιδος ἱερῶι. χαλεπῶς δὲ φέρων ὁ ἑρμο-
χάρης ἐπὶ τῶι τούτου διαμαρτεῖν, ἐσέδραμεν
ἐς τὸ ἀρτεμίσιον. καὶ ἡ παῖς αὐτὸν ἰδοῦσα κα-
τὰ θεόν, ἠράσθη. καὶ συνθεμένη διὰ τῆς τροφοῦ,
διαλαθοῦσα τὸν πατέρα νύχιον, ἀπέπλευσεν
ἐς τὰς ἀθήνας. καὶ γάμος ἐπράχθη τῶι ἑρμο-
χάρει. τεκοῦσα δὲ ἡ κτήσυλλα, καὶ χαλεπῶς
ἐκ τοῦ τόκου διατεθεῖσα, ἐξέλιπε κατὰ δαί-
μονα ὅτι ὁ πατὴρ αὐτῆς ἐψεύσατο τὸν ὅρκον.
καὶ τὸ μὲν σῶμα κομίσαντες, ἐκφέρον ὡς κη-
δεύσωσιν. ἐκ δὲ τῆς κλίνης, πελειὰς ἐξέπτη.
καὶ τὸ σῶμα τῆς κτησύλλης, ἀφανὲς ἐγένετο.
χρωμένωι δ᾽ ἑρμοχάρει, ὁ θεὸς ἀνεῖπεν. ἱδρύ-
σασθαι ἱερὸν παρὰ τοῖς ἰουλιήταις, ἐπώνυμον
ἀφροδίτης κτησύλλης. ἔχρησε δὲ καὶ
τοῖς κείοις. οἱ δὲ θύουσιν ἄχρι νῦν ἰουλιῆται μὲν.

ἱστορεῖ νίκανδρος ἑτεροιουμένων γ′

ἀφροδίτην κτήσυλλαν ὀνομάζοντες· οἱ δὲ ἄλλοι
β κτήσυλλαν ἑκαέργην: οἰνεὺς ὁ πορθέως ΜΕΛΕΑΓΡΙΔΕΣ
τοῦ ἄρεως, ἐν καλυδῶνι βασιλεύων· καὶ ἐγένοντο
αὐτῷ ἐξ ἀλθαίας τῆς θεστίου, μελέαγρος, φη-
ρεὺς, ἀγέλεως, τοξεὺς, κλύμενος, περίφας, θυ-
γατέρες δὲ, γόργη καὶ εὐρυμήδη καὶ δηιάνειρα καὶ με-
λανίππη· ἐπεὶ δὲ θύων ἀπαρχὰς ὑπερεῖδε τῆς χώ-
ρας, ἐκ καρπῶν τὴν ἄρτεμιν· αὕτη κατὰ
μῆνιν, ἐφορμᾷ σῦν ἄγριον ὃς κατέφθειρε τήν τε
γῆν καὶ πολλοὺς ἀπέκτεινεν· ἔπειτα μελέαγρος
καὶ οἱ θεστίου παῖδες, συναγείραντες ἀρίστους ἐκ
τῆς ἑλλάδος ἐπὶ τὸν σῦν· οἱ δὲ ἀφικόμενοι κτεί-
νουσιν αὐτόν· ὁ δὲ μελέαγρος διανέμων τὰ κρέα
αὐτοῦ τοῖς ἀρίστοις, τὴν κεφαλὴν καὶ τὸ δέρος,
ἐξαιρεῖ γέρας ἑαυτῷ· ἄρτεμις δὲ ἐπεὶ τὸν ἱερὸν σῦν
ἔκτειναν, ἔτι μᾶλλον ἐχολώθη, καὶ νεῖκος ἐνέ-
βαλεν αὐτοῖς· οἱ γὰρ παῖδες οἱ θεστίου καὶ οἱ ἄλλοι
κουρῆτες, ἅπτονται τοῦ δέρους· φάμενοι μετεῖναι
τὸ ἥμισυ σφίσι τοῦ γέρως ἑαυτοῖς· μελέαγρος, ἀφαιρεῖ-
ται κατὰ βίαν· καὶ κτείνει τοὺς θεστίου παῖδας·
ἐκ ταύτης τῆς προφάσεως, πόλεμος ἐγένετο κου-
ρῆσι καὶ καλυδωνίοις· καὶ ὁ μελέαγρος ἐς τὸν πό-
λεμον οὐκ ἐξῄει, μεμφόμενος ὅτι αὐτῷ κατη-
ράσατο ἡ μήτηρ, διὰ τὸν τῶν ἀδελφῶν θάνατον·
ἤδη δὲ τῶν κουρήτων μελλόντων αἱρεῖν τὴν πό-
λιν, ἔπεισε τὸν μελέαγρον ἡ γυνὴ κλεοπάτρα τοῖς
καλυδωνίοις ἀμῦναι· ὁ δὲ ἀναστὰς ἐπὶ τὸν στρατὸν
τῶν κουρήτων, καὶ αὐτὸς ἀποθνήσκει τῆς μητρὸς
ἐμπρησάσης τὸν παρὰ τῶν μοιρῶν αὐτῇ δοθέν-
τα δαλόν· ἐπέκλωσαν γὰρ ἐπὶ τοσοῦτον αὐτὸν ἔ-
σεσθαι χρόνον, ἐφ' ὅσον ἂν ὁ δαλὸς διαμένῃ· ἀπέ-
θανον δὲ καὶ οἱ ἄλλοι παῖδες οἰνέως μαχόμε-
νοι· καὶ πένθος ἐπὶ μελεάγρῳ μέγιστον ἐγένετο,

ἱστορεῖ νίκανδρος ἑτεροιουμένων γ

ἱστορεῖ βοῖος, ὀρνιθογονίᾳ α:

παρὰ καλυδωνίοις· αἱ δὲ ἀδελφαὶ αὐτοῦ, παρὰ
τὸ σῆμα ἐθρήνουν ἀδιαλείπτως· ἄχρις αὐτὰς ἄρ-
τεμις ἁψαμένη κράδῳ, μετεμόρφωσεν ὄρ-
νιθας· καὶ ἀπῴκισεν εἰς λέρον τὴν νῆσον, ὀνο-
μάσασα μελεαγρίδας· αἱ δὲ ἄχρι νῦν ἔτι καθ᾽ ὥ-
ραν ἔτους, λέγονται πένθος ἐπὶ μελεάγρῳ ἐπιφέ-
ρειν· δύο δὲ τῶν ἀλθαίας θυγατέρων, γοργὴν καὶ
δηϊάνειραν, φασὶ κατ᾽ εὐμένειαν διονύσου μὴ
μεταβαλεῖν, ὅτι τὴν χάριν αὐτῷ ÷ ÷ ἀρτέμιδος δεδοι:

ἱέραξ γ ἱέραξ ἐγένετο ἐν τῇ μαριανδυνῶν γῇ δίκαιος
ἀνὴρ καὶ ἐπιφανής· οὗτος, ἱερὰ δήμητρος
ἱδρύσατο· καὶ πλείστους αὐτῆς καρποὺς ἔλα-
βεν· ἐπεὶ δὲ τεῦκροι κατὰ χρόνον τὸν ἥκοντα οὐ με-
νομοῦ καὶ ἐπελίποσαν ἱερὰ ποσειδῶνι, ἀλλὰ ὑπὸ
ὀλιγωρίας ἐξέλιπον, χαλεπήνας ποσειδῶν,
τοὺς μὲν ἐκείνης καρποὺς ἔφθειρε· κῆτος
δὲ ξάγιον ἐκ τῆς θαλάσσης ἐφόρμησεν αὐτοῖς·
οὐ δυνάμενοι δὲ πρὸς τὸ κῆτος καὶ τὸν λιμὸν ἀν-
τέχειν, ἀπέστελλον οἱ τεῦκροι πρὸς τὸν ἱέρακα·
καὶ ἐδέοντο πρὸς τὸν λιμὸν ἐπαμῦναι κἀκεῖνος
ἔπεμψε καὶ πυρὸν καὶ ἄλλην τροφήν· ποσει-
δῶν δὲ μηνίσας ἐπεὶ κατέλυσεν αὐτοῦ τὰς
τιμάς, ἐποίησεν ὄρνιθα, ὃς ὀνομάζεται νῦν
ἱέραξ· καὶ τὸ ἦθος ἤλλαξεν, ἀφανίσας· μέγιστα
γὰρ ὑπ᾽ ἀνθρώπων φιληθέντα, ἐποίησεν
ὑπὸ τῶν ὀρνέων μισηθῆναι· καὶ πολλοὺς
ἀνθρώπους ἀποθανεῖν κωλύσαντα, ἐποίησεν
αὐτὸν ὀρνίθων ἀποκτείνειν:

κραγαλεύς δ κρα-
γαλεὺς ὁ δρύοπος, ᾤκει γῆς τῆς δρυοπίδος·
παρὰ τὰ λουτρὰ τὰ ἡρακλέους· ἃ μυθολογοῦσι
ἡρακλέα πλήξαντα τὴν κορυφὴν τὰς πηγάς
τοῦ ὄρους, ἀναβαλεῖν· ὁ δὲ κραγαλεὺς οὗτος, ἐγέ-
νετο γηραιὸς ἤδη· καὶ τοῖς ἐγχωρίοις ἐνομί-

ἱστορεῖ νίκανδρος ἑτεροιουμένων α΄· καὶ ἀθανάδας
ἀμβρακικοῖς:

ζετο δίκαιος εἶναι καὶ φρόνιμος· καὶ αὐτῷ νέμον-
τι βοῦς, προσάγουσιν ἀπόλλων καὶ ἄρτεμις
καὶ ἡρακλῆς, κριθησόμενοι περὶ ἀμβρακίας
τῆς ἐν ἠπείρῳ· καὶ ὁ μὲν ἀπόλλων, ἑαυτῷ προ-
σήκειν ἔλεγε τὴν πόλιν· ὅτι μελανεὺς ὁ υἱὸς
ἦν αὐτοῦ. βασιλεύσας μὲν δρυόπων, καὶ πολέ-
μοι κατασχὼν τὴν πᾶσαν ἤπειρον· γεννήσας δὲ
παῖδας, εὔρυτον καὶ ἀμβρακίαν, ἐφ' ἧς ἡ πό-
λις ἀμβρακία καλεῖται· καὶ αὐτὸς μέγιστα χα-
ρίσασθαι τοῦτο τῇ πόλει· σισυφίδας μὲν γὰρ
αὐτοῦ προστάξαντος ἀφικομένους, κατορθῶ-
σαι τὸν πόλεμον ἀμβρακιώταις, τὸν γενόμενον
αὐτοῖς πρὸς ἠπειρώτας· γόργον δὲ τὸν ἀ-
δελφὸν κυψέλου, κατὰ τοὺς αὐτοῦ χρησμούς,
λαὸν ἐποίκων ἀγαγεῖν ἐς ἀμβρακίαν ἐκ κορίν-
θου· φαλαίκου δὲ τυραννοῦντος τῆς πόλεως αὐ-
τοῦ, κατὰ μαντείαν ἀμβρακιώτας ἐλευθερῶσαι·
καὶ παρ' αὐτὸ τοῦτο πολλοὺς ἀπολέσθαι τὸν φαλαί-
κου· τὸ δὲ ὅλον, αὐτὸς ἐν τῇ πόλει παῦσαι
στάσεις ἐμφυλίου πολέμου καὶ ἔριδος, καὶ
φάσιν ἐποίησαι ἀντὶ τούτων δ' εὐνομίαν καὶ θέ-
μιν καὶ δίκην· ὅθεν αὐτὸν ἔτι νῦν παρὰ τοῖς ἀμ-
βρακιώταις, σωτῆρα πύθιον ἐν ἑορταῖς καὶ
θαλίαις ᾄδεσθαι. ἄρτεμις δὲ, τὸ μὲν νεῖ-
κος κατέπαυε πρὸς τὸν ἀπόλλωνα· παρε-
κάλεσε δ' ἠξίου τὴν ἀμβρακίαν ἔχειν· ἐφίεσθαι
γὰρ τῆς πόλεως κατὰ πρόφασιν τοιαύτην·
ὅτε φάλαικος ἐτυράννει τῆς πόλεως, οὐδε-
νὸς αὐτὸν δυναμένου κατὰ δέος ἀνελεῖν, αὐτὴ
κυνηγετοῦντι τῷ φαλαίκῳ προφῆναι σκύ-
μνον λέοντος· ἀναλαβόντος δὲ ἐς τὰς χεῖρας,
ἐκδραμεῖν ἐκ τῆς ὕλης τὴν μητέρα· καὶ προσ-
πεσοῦσαν, ἀναρρῆξαι τὰ στέρνα τοῦ φαλαίκου·

περὶ φαλαίκου

τοὺς δ' Ἀμπρακιώτας ἐκφυγόντας τὴν δουλεί-
αν, Ἄρτεμιν Ἡγεμόνην ἱλάσασθαι· καὶ ποιη-
σαμένους Ἀγροτέρης σκύλακα παρατίθε-
σθαι χάλκεον αὐτῷ· ὁ δὲ Ἡρακλῆς ἀ-
πεδείκνυεν Ἀμπρακίαν αὐτοῦ καὶ τὴν σύμπα-
σαν Ἤπειρον οὖσαν ἑαυτοῦ· πολεμήσαντας
γὰρ αὐτῷ Κελτοὺς καὶ Χάονας καὶ Θεσπρω-
τοὺς καὶ σύμπαντας Ἠπειρώτας, ὑπ' αὐτοῦ
κρατηθῆναι, ὅτε τὰς Γηρυόνου βοῦς συ-
νελθόντας ἀφελέσθαι· χρόνῳ δ' ὕστερον λαὸν
ἔποικον ἐξελθόντα ἐκ Κορίνθου καὶ τοὺς πρόσθεν
ἀναστήσαντας Ἀμπρακίαν συνοικίσαι· Κορίν-
θιοι δὲ πάντες εἰσὶν ἀφ' Ἡρακλέους· ἀκ-
ούσας ὁ Κραγαλεὺς, ἔγνω τὴν πόλιν Ἡρακλέ-
ους εἶναι· Ἀπόλλων δὲ κατ' ὀργὴν ἁψάμενος
αὐτοῦ τῇ χειρί, πέτρον ἐποίησεν ἵν' ἑστήκει·
Ἀμπρακιῶται δὲ, Ἀπόλλωνι μὲν Σωτῆρι θύουσι·
τὴν δὲ πόλιν Ἡρακλέους καὶ τῶν ἐκείνου παί-
δων νέμουσι· Κραγαλεῖ δὲ μετὰ τὴν ἑορτὴν
τὴν Ἡρακλέους, ἔντομα θύουσιν ἄχρι νῦν:

Αἰγύπιος ε΄

Ἄνθεος τοῦ Νομίονος, ἐγένετο παῖς Αἰγύπιος· ᾤ-
κει δὲ, παρὰ τὴν ἐσχατιὰν τῆς Θεσσαλίας· καὶ
αὐτὸν ἐφίλησαν θεοί, ὅσοι τῆς εὐσεβείας· καὶ
ἄνθρωποι, ὅτι ἦν μεγαλόφρων καὶ δίκαιος· οὗ-
τος ἰδὼν Τιμάνδρην, ἠράσθη· μαθὼν δ' ὅτι
ἀνδρὸς ἦν χήρα· πείσας χρήμασιν, ἐμίγνυτο·
φοιτῶν δ' ἐς τὰ ἐκείνης οἰκία· πρὸς δὲ τοῦτο
Νεόφρων ὁ παῖς τῆς Τιμάνδρης, χαλεπῶς
ἔχων Αἰγυπιῷ δ' ἦν ἡλικιώτης καὶ λέγων οι
δόλον ἐβούλευε· δοὺς πλεῖστα δῶρα, καὶ ἀνα-
πείσας Βουλίδα τὴν Αἰγυπιοῦ μητέρα, καὶ ἀ-
γαγὼν ἐς τὰς οἰκίας, ἀπάξειν αὐτὴν προμα-
θεῖν δὲ τὴν ὥραν ἣν εἰώθει παρὰ Τιμάνδρην φοιτᾶν

ἱστορεῖ Βοιὸς ὀρνιθογονίας α΄.

ΗΜΑΘΙΔΕΣ

θ ταλίαι σύβαριν ἔκτισαν: ζεὺς δὲ μνημο-
σύνῃ μιγεὶς ἐν πιερίαι μούσας ἐγέννησεν·
ὑπὸ δὲ τὸν χρόνον τοῦτον ἐβασίλευε πίερος
αὐτόχθων ἠμαθίας· καὶ αὐτῷ θυγατέρες ἐγέ-
νοντο ἐννέα· καὶ χορὸν ἐναντίον ἐστήσαντο ταῖς
μούσαις· καὶ ἀγὼν ἐγένετο μουσικῆς ἐν τῷ
ἑλικῶνι· ὁπότε μὲν οὖν αἱ θυγατέρες ᾄδοιεν τοῦ
πιέρου, ἐζόφου τὰ πάντα· καὶ οὐδὲν ὑπήκουεν
πρὸς τὴν χορείαν· ὁπότε δὲ μοῦσαι, ἵστατο μὲν οὐ-
ρανὸς καὶ ἄστρα· καὶ θάλασσα· καὶ ποταμοί·
ὁ δὲ ἑλικὼν ηὔξετο κηλούμενος ὑφ' ἡδονῆς
ἐς τὸν οὐρανὸν ἄχρις αὐτὸν βουλῇ ποσειδῶνος
ἔπαυσεν ὁ πήγασος τὴν κορυφὴν τῇ ὁπλῇ πα-
τάξας· ἐπεὶ δὲ νεῖκος ἤραντο θνηταὶ θεαῖς,
μετέβαλον αὐτὰς αἱ μοῦσαι· καὶ ἐποίησαν ὄρνι-
θας ἐννέα· καὶ ἔτι νῦν ὀνομάζονται παρ' ἀνθρώ-
ποις· κολυμβάς· ἴυγξ· κεγχρίς· κίσσα· χλω-
ρίς· ἀκαλανθίς· νῆσσα· πιπώ· δρακοντίς:

ΜΙΝΥΑΔΕΣ

ι μινύου τοῦ ὀρχομενοῦ ἐγένοντο θυγατέρες λευ-
κίππη καὶ ἀρσίππη καὶ ἀλκαθόη· ἀπέβησαν δὲ ἐκ-
τόπως φιλεργοί· πολλὰ δὲ καὶ τὰς ἄλλας γυ-
ναῖκας ἐμέμφοντο ὅτι ἐκλιποῦσαι τὴν πόλιν
ἐν τοῖς ὄρεσιν ἐβάκχευον· ἄχρι διόνυσος εἰκα-
σθεὶς κόρῃ παρῄνεσεν αὐταῖς μὴ ἐκλιπεῖν τε-
λετὰς ἢ μυστήρια τοῦ θεοῦ· αἱ δὲ οὐ προσεῖχον·
πρὸς δὴ ταῦτα χαλεπήνας ὁ διόνυσος, ἀντὶ
κόρης ἐγένετο ταῦρος· καὶ λέων· καὶ πάρδα-
λις· καὶ ἐκ τῶν ἱστοπέδων, ἐρρύη νέκταρ αὐ-
ταῖς καὶ γάλα· πρὸς δὲ τὰ σημεῖα, τὰς κόρας
ἐνέπεσε δεῖμα· καὶ μετ' οὐ πολὺ κλῆρον εἰς ἄγγος
αἱ τρεῖς ἐμβαλοῦσαι ἀνέπηλαν· ἐπεὶ δὲ ὁ κλῆ-
ρος ἐξέπεσε λευκίππης, ηὔξατο θῦμα τῷ θε-
ῷ δώσειν· καὶ ἵππασον τὸν ἑαυτῆς παῖδα

διέσπασε σὺν ταῖς ἀδελφαῖς· καταλιποῦσαι
δὲ τὰς οἰκίας τοῦ πατρὸς ἐβάκχευον ἐν τοῖς ὄ-
ρεσι· καὶ ἐνέμοντο κισσὸν· καὶ μίλακα· καὶ δά-
φνην· ἄχρις αὐτὰς Ἑρμῆς ἁψάμενος τῇ ῥά-
βδῳ μετέβαλεν εἰς ὄρνιθας· καὶ αὐτῶν ἡ μὲν ἐγέ-
νετο νυκτερίς· ἡ δὲ γλαῦξ· ἡ δὲ βύζα· ἔφυγον
δὲ αἱ τρεῖς τὴν αὐγὴν τοῦ ἡλίου:

ἀηδών ια

Πανδά-
ρεω ᾤκει τῆς γῆς τῆς Ἐφεσίας· ἵνα ἐστὶ νῦν ὁ
πρὼν παρ' αὐτὴν τὴν πόλιν· ᾧ δίδοι Δημήτηρ
δῶρον, μηδέποτε βαρυνθῆναι τὴν γαστέρα ὑ-
πὸ σιτίων, ὁπόσον ἂν πλῆθος ἐσενέγκηται·
ἐγένετο δὲ τῷ Πανδάρεῳ θυγάτηρ, Ἀηδών·
ταύτην, Πολύτεχνος ὁ τέκτων ἐγήματο, ὃς ᾤκει
ἐν Κολοφῶνι τῆς Λυδίας· καὶ πλεῖστον χρόνον
εὐφραίνοντο συνόντες ἀλλήλοις· ἐγένετο δὲ αὐ-
τοῖς παῖς μονογενὴς Ἴτυς· ἄχρι μὲν οὖν θε-
οὺς ἐτίμων, εὐδαίμονες ἦσαν· ἐπεὶ δὲ λόγον ἀ-
χρεῖον ἀπέρριψαν, ὅτι πλέον ἀλλήλους Ἥρας
καὶ Διὸς φιλοῦσιν, καὶ Ἥρα μεμψαμένη τὸν
λόγον ἔριν αὐτοῖς ἐνέπεμψεν· [illegible]
[illegible] ἔργα· καὶ Πολυτέχνῳ μὲν ὀλίγον ἦν
ἔτι δίφρον ἁρμάτειον ἐκπονῆσαι· Ἀηδόνι δὲ τὸν
ἱστὸν ἐξυφῆναι· καὶ συντίθενται πρὸς ἀλλήλους· ὁ-
πότερος ἂν τάχιον ἀνύσῃ τὸ ἔργον, τοῦτον θερά-
παιναν παρὰ τοῦ ἑτέρου γενέσθαι· καὶ ἐπεὶ δὴ
θᾶττον ἡ Ἀηδὼν τὸν ἱστὸν ἐξύφηνεν· Ἥρα γὰρ
αὐτῇ συνεξήνυσεν, ὁ Πολύτεχνος ἀχθόμε-
νος τῇ νίκῃ τῆς Ἀηδόνος, ἀφίκετο πρὸς τὸν
Πανδάρεων· καὶ ὑπὸ τῆς Ἀηδόνος προσεποιή-
σατο πεμφθῆναι, ὅπως αὐτῇ Χελιδόνα
τὴν ἀδελφὴν ἀπαγάγῃ· καὶ ὁ Πανδάρεως
οὐδὲν ὑπονοήσας πονηρὸν, δίδωσιν ἀπάγειν·
ὁ δὲ Πολύτεχνος παραλαβὼν τὴν κόρην, κα-

ἱστορεῖ Βοῖος Ὀρνιθογονίας α'

σχυνεν ἐν τῇ λόχμῃ· καὶ ἀλλάσσει μὲν ἀμφιέσας
τὴν ἐσθήμασι· καὶ τῆς κεφαλῆς ἀποκείρει
τὴν κόμην· καὶ ἠπείλησε θάνατον, εἰ ἐξείπο-
τε ταῦτα πρὸς τὴν Ἀηδόνα· καὶ ὁ μὲν ἐλθὼν
τὰ οἴκαδε, παραδίδωσι τῇ Ἀηδόνι κατὰ τὰς
συνθήκας γυναῖκα, ὡς θεράπαιναν τὴν ἀδελφήν·
ἡ δέ, αὐτὴν διέφθειρε προσάγουσα ἔργα· μέχρις
ἡ Χελιδὼν ἔχουσα κάλπην, ἐλθοῦσα παρὰ
τὴν κρήνην ἧσται καὶ ὠδύρετο, καὶ αὐτῆς ἐπη-
κροάσατο τὸν λόγον ἡ Ἀηδών· ἐπεὶ δὲ ἀλλήλας
ἔγνωσαν καὶ ἠσπάσαντο· ἐβουλεύοντο τῷ Πολυ-
τέχνῳ συμφοράν· καὶ τὸν παῖδα κατακόψα-
σαι, τὰ κρέα ἐν λέβητι συνθεῖσαι, ταῦτα μὲν ἥψον·
Ἀηδὼν δὲ φράσασα πρὸς ἑαυτῆς γείτονα, ἐ-
πὰν Πολυτέχνῳ δαίσασθαι τῶν κρεῶν, ἀφίκε-
το σὺν τῇ ἀδελφῇ πρὸς τὸν πατέρα Πανδάρε-
ον· καὶ ἐδήλωσεν οἵαις ἐχρήσατο συμφοραῖς· Πο-
λύτεχνος δὲ μαθὼν ὅτι τοῦ παιδὸς ἐδαίσατο
τὰ κρέα, μετεδίωξεν αὐτὰς ἄχρις πρὸς τὸν
πατέρα· καὶ αὐτὸν οἱ θεράποντες οἱ τοῦ Πανδά-
ρεου, συνέλαβον καὶ ἔδησαν ἀφύκτοις δεσμοῖς·
ὅτι ἐλωβήσατο τὸν οἶκον τοῦ Πανδάρεου· καὶ
τὸ σῶμα ἐναλείψαντες μέλιτι, κατέβαλον ἐς τὰ
ποίμνια· καὶ Πολυτέχνου μὲν αἱ μυῖαι προσί-
ζουσαι ἐλυμαίνοντο· Ἀηδὼν δὲ οἰκτείρασα πρὸς
τὴν παλαιὰν φιλίαν, ἀπήρυκεν ἐκ τοῦ Πολυτέ-
χνου τὰς μυίας· ἐπεὶ δὲ αὐτὴν κατεφράσθη-
σαν, οἱ γονεῖς τε καὶ ὁ ἀδελφὸς μισήσαντες,
ἐνεχείρησαν ἀποκτεῖναι· Ζεὺς δὲ πρὸ τοῦ μεί-
ζον κακὸν ἐπισχεῖν τοῖς οἴκοις τοῦ Πανδάρεου
οἰκτείρας, ἐποίησε πάντας ὄρνιθας· καὶ οἱ
μὲν αὐτῶν ἐξέπτησαν ἄχρι πρὸς τὴν θάλασσαν·
οἱ δέ, τὸν αἰθέρα· Πανδάρεος μὲν οὖν ἐγένετο

ἁλιαίετος· ἡ δὲ μήτηρ τῆς ἀηδόνος, ἀλκυ-
ών· καὶ ἐπεσκευάζοντο καταβαλεῖν ἑαυτοὺς
εἰς τὴν θάλασσαν· ἀλλὰ ζεὺς ἐκώλυσεν· οὗτοι
τοῖς πλέουσι μόνοι ὀρνίθων, αἴσιοι φαίνονται·
πολύτεχνος δὲ μεταβαλὼν, ἐγένετο πελεκᾶν,
ὅτι ἥφαιστος αὐτῷ πέλεκυν ἔδωκε τεκται-
νομένῳ· καὶ ἔστιν ἀγαθὸς οὗτος ὁ ὄρνις, ἐπὰν φα-
νῇ τέκτονι· ὁ δὲ τῆς ἀηδόνος ἀδελφὸς, ἐγέ-
νετο ἔποψ, αἴσιος καὶ πλέουσι καὶ γεωργοῖς ἐπὰν φα-
νῇ· ἁλιαίετοι δὲ καὶ ἀλκυόνες μᾶλλον· ἀηδόνος δὲ
καὶ χελιδόνος, ἡ μὲν παρὰ ποταμοὺς καὶ λόχμας
τὸν παῖδα αὐτῆς ἴτυν θρηνεῖ· χελιδὼν δὲ ἐγένε-
το σύνοικος ἀνθρώποις ἀρτέμιδος βουλῇ, διότι
κατ' ἀνάγκας ἐκλιποῦσα τὴν παρθενίαν, πα-
ρὰ τὴν ἄρτεμιν ἐπεβοήσατο:

ΚΥΚΝΟΣ ΙΒ

ἀπόλλωνος
καὶ θυρίης τῆς ἀμφινόμου, παῖς ἐγένετο κύ-
κνος· οὗτος ἦν εὐσχήμων τὴν ὄψιν· τὸ δὲ ἦθος,
ἄχαρις καὶ ἄγροικος· πρὸς κυνηγέσια ἐθέλετο
πως φιλότιμος· ᾤκει δὲ ἐν τῷ ἀγρῷ, τῷ με-
ταξὺ πλευρῶνος καὶ καλυδῶνος· ἐγένοντο δὲ αὐ-
τοῦ καὶ ἐρασταὶ πλεῖστοι διὰ τὸ κάλλος· ὁ δὲ κύκνος,
κατ' ὑπεροψίαν, προσίετο αὐτῶν οὐδένα· τάχι-
στα δὲ διαλιπόντων αὐτὸν μὲν τῶν ἄλλων ἐραστῶν,
κατελείπετο φύλιος δὲ μόνος αὐτῷ, συνέμε-
νεν· ὁ δὲ, καὶ τοῦτον οὐ μετρίως ἐξύβριζεν· ἐφά-
νη γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ, μέγα τι χρῆμα
λέοντος ἐν αἰτωλοῖς, ὃς αὐτούς τε καὶ τὰ θρέμμα-
τα διελυμαίνετο· τοῦτον οὖν τῷ φυλίῳ προσέ-
ταξεν ὁ κύκνος, ἄνευ σιδήρου κατακτεῖναι· καὶ ὃς
ὑπέσχετο καὶ ἀνεῖλε μηχανῇ τοιαύτῃ· εἰδὼς ἥν
τινα ὥραν ἔμελλεν ὁ λέων ἐπιφοιτήσειν, ἐνέπλη-
σε γαστέρα πολλῶν σιτίων καὶ οἴνου· καὶ ταύ-
την προσενεγκὼν, τῷ θηρὶ ἐξήμεσεν ὁ φύλιος τὰ σιτία·

ἱστορεῖ νίκανδρος ἑτεροιουμένων γ΄· καὶ ἀρεὺς ὁ λά-
κων ἐν ᾄσματι κύκνῳ:

καὶ ὁ λέων ὑπὸ λιμοῦ τροφῇ ταύτῃ χρησάμενος
ἐχειρώθη ὑπὸ τοῦ οἴνου· ὁ δὲ Φύλιος περι-
καλύψας τὸν βραχίονα τῇ ἐσθῆτι ἣν ἐφόρει, ἐξέρρα-
ξε τὸ στόμα τοῦ λέοντος. ἀνελὼν δὲ αὐτὸν καὶ ἀνα-
λαβόμενος ἐπὶ τὸν ὦμον, ἀπήνεγκε πρὸς τὸν
Κύκνον. καὶ διεβοήθη παρ' ἀνθρώποις ἐπὶ τῷ
κατορθώματι τούτῳ. ὁ δὲ Κύκνος ἕτερον ἆθλον
ἐπέταξεν αὐτῷ ἕτερον· γεγένηντο γὰρ ἐπὶ τὴν γῆν
ταύτην γῦπες, ὑπερφυεῖς καὶ μέγα χρῆμα, καὶ
πολλοὺς ἀπώλλυσαν ἀνθρώπους· τούτους ἐ-
κέλευσε συλλαβεῖν ζῶντας καὶ ἀπενεγκεῖν ἄνευ
πάσης μηχανῆς. ἀπορουμένῳ δὲ τῷ Φυλίῳ πρὸς
τὸ ἐπίταγμα, κατὰ θεὸν ἀετὸς ἡρπακὼς λα-
γωὸν ἡμιθνῆτα, κατέβαλε πρὶν ἀπενεγκεῖν
ἀφῆκεν. ὁ δὲ Φύλιος ἀναρρήξας τὸν λαγω-
ὸν καὶ τοῦ αἵματος ἑαυτὸν ἀναπλήσας, ἐπὶ τῆς
γῆς ἔκειτο· οἱ δὲ ὄρνιθες ὡς ἐπὶ νεκρὸν
ὥρμησαν· ὁ δὲ Φύλιος πιέσας τῶν ὀρνέων δύο,
καὶ κατασχὼν ἀπήνεγκε πρὸς τὸν Κύκνον.
ὁ δὲ αὐτῷ τρίτον ἐπιχαλεπώτερον ἆθλον ἐπέ-
ταξεν· ἐκέλευσε γὰρ ἀπαγαγεῖν ταῦρον ἐκ τῆς
ἀγέλης ταῖς χερσὶ λαβόντα, μέχρι πρὸς τὸν
βωμὸν τοῦ Διός. ὁ δὲ Φύλιος ἀμηχανῶν
ὅτι χρήσαιτο πρὸς τὸ ἐπίταγμα, εὔξατο συλλαβέ-
σθαι αὐτῷ τὸν Ἡρακλέα· καὶ πρὸς τὴν εὐχὴν
ταύτην ἐφάνησαν δύο ταῦροι περὶ μίαν οἰστρή-
σαντες βοῦν· καὶ τοῖς κέρασι τύπτοντες ἀλλή-
λους, κατέβαλον ἐπὶ τὴν γῆν. ὁ δὲ Φύλιος, ἐπει-
δὴ παρείθησαν, τὸν ἕτερον ταῦρον ἀναλαβόμε-
νος ἐπὶ τοὺς ὤμους, ἀπήνεγκεν ἄχρι πρὸς τὸν
βωμόν. Κύκνος δὲ τοῦ Ἡρακλέους ἀφεῖσθαι
τῶν ἐπιταγμάτων τοῦ παιδός· τῷ δὲ Κύκνῳ
παρέστη δεινὸν, ἀτιμωθέντι παρὰ τὴν δόξαν·

ἀθυμήσας δὲ, καὶ ἐμβαλὼν ἑαυτὸν εἰς τὴν κώνωπα
λεγομένην λίμνην, καὶ ἠφανίσθη· πρὸς δὲ τὸν
θάνατον αὐτοῦ, καὶ Θυρίη ἡ μήτηρ, καὶ ἐνέβαλεν
ἑαυτὴν εἰς τὴν αὐτὴν ἐκείνῳ λίμνην· καὶ ἐγέ-
νοντο κουλῆι Ἀπόλλωνος ὄρνιθες ἀμφότεροι
ἐν λίμνῃ· ἀφανισθέντων δὲ, καὶ ἡ λίμνη με-
τωνομάσθη καὶ ἐγένετο κυκνείη· καὶ πολλοὶ
ἐν τῇ ὥρᾳ τοῦ ἀρότου ἐνταῦθα φαίνονται κύ-
κνοι· πλησίον δὲ ἐστὶ καὶ τὸ τοῦ Φυλίου σῆμα:

Ἀσπαλίς ιγ

Διὸς καὶ νύμφης Ὀθρηΐδος, ἐγένετο παῖς Με-
λιτεύς· τοῦτον ἡ μήτηρ ἐξέθηκεν εἰς τὴν ὕλην,
κατὰ δέος Ἥρας, ὅτι αὐτῇ Ζεὺς ἐμίχθη· ὁ δὲ
παῖς Διὸς βουλῇ οὐκ ἠφανίσθη, ἀλλ' ἐξε-
τρέφετο ὑπὸ μελισσῶν· ἐνέτυχε δὲ αὐτῷ
ποιμαίνων πρόβατα, Φάγρος ὁ Ἀπόλλωνος
καὶ ὁ Ὀθρηΐδος νύμφης υἱός· ἔσπευσε ἀνελέσθαι
τὸν ἐν τῇ ὕλῃ παῖδα· θαυμάσας δὲ πρὸς τὸν
ὄγκον τοῦ σώματος, καὶ εἰπὼν πρὸς τὰς
μελίσσας, ἀνείλετο καὶ ἀπήνεγκεν εἰς τὰ οἰκία·
καὶ ἔτρεφεν ἐν ἐπιμελείᾳ σπουδῇ· θέμενος αὐτῷ
Μελιτεὺς ὄνομα, διότι ὑπὸ μελισσῶν ἐτράφη·
ὑπῆλθεν αὐτὸν καὶ ὁ χρησμός, ἐν ᾧ ποτε θε-
ὸς ἐπέσκηψε σώζειν γινόμενον τὸν ὑπὸ τῶν
μελισσῶν τρεφόμενον· ὁ δὲ παῖς ἐπεὶ τάχι-
στα ἠνδρώθη, ἀνὴρ ἐγένετο γενναῖος· καὶ πε-
ρίων ἦρξε περιοίκων· καὶ πόλιν ἔκτισεν ἐν
τῇ Φθίᾳ, προσαγορεύσας Μελίτην· ἐνταῦθα
τῇ Μελίτῃ τύραννος ἐγένετο ἄγριος καὶ ὑ-
βριστής· ὃν οἱ μὲν ἐπιχώριοι ἰοῦδον ὀνομάζου-
σιν· ὑπὸ δὲ τῶν ξένων Τάρταρος ἐκαλεῖτο·
οὗτος ἅτε δικαιοσύνης ... παρθένος ἐπεὶ καὶ
ἡ τῶν ἐγχωρίων, ἀπῆγεν αὐτὴν καὶ ἐμίγνυ-
το πρὸ γάμου καταλαμβάνων· ὅτε δὲ λοῦται πρὸς

ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β

τοὺς θεράποντας. ἀπάγ(ειν) μέλλουσι τὴν θυγατέ-
ρα τὴν Ἀργαίου τῶν οὐκ ἀσήμων. ἡ δὲ παῖς ὡς
ἐπύθετο ὁ λόγος ἐγένετο, πρὶν ἀφικέσθαι τοὺς
ἀπάξοντας, ἀνήρτησεν ἑαυτήν. τῆς δὲ παρ-
θένου οὔπω διαγνωσθείσης, ἀδελφὸς ὁ τῆς Ἀσπα-
λίδος Ἀστυγίτης ὤμοσεν ὅτι πρότερον τίσαιτο
τὸν τύραννον ἢ τὸ σῶμα καθαιρήσοι τὸ τῆς ἀδελ-
φῆς. ἐνδὺς δὲ τάχιστα τὴν στολὴν τῆς Ἀσπα-
λίδος καὶ κρύψας παρὰ τὴν εὐώνυμον πλευρὰν
τὸ ξίφος, ἐσῆλθε πρὸς τὴν [illegible].
παρελθὼν δ' ἅτε οἰκεῖα, γυμνὸν ὄντα καὶ ἀφύ-
λακτον τὸν τύραννον κτείνει. οἱ δὲ Μελιταῖοι
μὲν Ἀστυγίτην ἐστεφάνουν καὶ μετὰ παιάνων
προέπεμπον. τὸ δὲ σῶμα τοῦ τυράννου κατε-
πόντωσαν ἐς ποταμὸν ἐμβαλόντες. ὃν ἔτι νῦν
ἐξ ἐκείνου τοῦ χρόνου Τάρταρον καλοῦσι. τὸ δὲ
σῶμα τὸ τῆς Ἀσπαλίδος ἐξερευνῶντες πάντα
τρόπον ὅπως κηδεύσωσιν ἐπισήμως, οὐκ ἐδυ-
νήθησαν ἀρᾶν. ἀλλὰ τοῦτο μὲν ἠφανίσθη κα-
τὰ θεόν. ἀντὶ δὲ τοῦ σώματος ἐφάνη ξόανον
παρὰ τῷ τῆς Ἀρτέμιδος ἑστηκός. ὀνομάζεται δὲ
παρὰ τοῖς ἐγχωρίοις τοῦτο τὸ ξόανον Ἀσπαλὶς
Ἀμειλήτη Ἑκαέργη, ᾗ καθ' ἕκαστον ἔτος αἱ παρ-
θένοι χίμαρον ἄθορον ἐκκρημνῶσιν, ὅτι καὶ Ἀσπα-
λὶς παρθένος οὖσα ἑαυτὴν ἀπηγχόνισεν:

ιδ. Μούνιχος ὁ Δρύαντος ἐβασίλευε Μολοσσῶν καὶ
ἐγένετο μάντις ἀγαθὸς καὶ ἀνὴρ δίκαιος.
ἔσχεν δὲ παῖδας ἐκ Λελάντης, Ἄλκανδρον
ἀμείνονα μάντιν ἑαυτοῦ, καὶ Μεγαλήτορα καὶ
Φιλαῖον, καὶ θυγατέρα Ὑπερίππην. τούτους γε-
νομένους πάντας ἀγαθοὺς καὶ δικαίους ἐφί-
λησαν οἱ θεοί. ἐπεὶ δὲ αὐτοὺς ἐπὶ τῶν ἀγρῶν ἐν
νυκτὸς ἐπελθόντες λῃσταὶ ἐνεπίμπρασαν, οἱ δὲ

Μούνιχος

ἐκ τῶν πύργων ἔβαλλον· οὐ γὰρ ἦσαν αὐτοῖς ἰσό-
μαχοι· πῦρ δ' ἐνέβαλλον οἱ κάτωθεν· τότε δὴ καὶ Ζεὺς
δ' οὐ περιεῖδεν αὐτοὺς ὁσιότητος ἕνεκα τελευ-
τήσαντας οἰκτίστῳ θανάτῳ· μετέβαλε δὲ πάν-
τας ἐς ὄρνιθας· καὶ ὑπὲρ [illegible] ἐκφυγοῦσαι
τὸ πῦρ ἐς ἀέρα καὶ ἐγένοντο [illegible]· οἱ δ' ἄλ-
λοι ἐκ τοῦ πυρὸς ἀνεπτήσαν· Μούνιχος μὲν τρι-
όρχης γενόμενος· Ἄλκανδρος δὲ ὀρχίλος· Με-
γαλήτωρ δὲ καὶ Φιλαῖος, ὅτι τὸ πῦρ ἔφυγόν τε
διὰ τοῦ τοίχου παρὰ τὴν γῆν ἐδύοσαν, ἐγένον-
το μικροὶ δύο ὄρνιθες· καὶ ἔτι νῦν ὁ μὲν αὐτῶν
ἰχνεύμων, Φιλαῖος δ' ὀνομάζεται κύων· ἡ δὲ
μήτηρ αὐτῶν ἐγένετο κνιπολόγος· πιπὼ πρὸς
ταύτην ἀετῷ πόλεμός ἐστι καὶ ἐρῳδιῷ· καὶ τὰ
γίνονται γὰρ αὐτῶν τὰ ᾠά· κόπτουσα τὸν δρῦν διὰ
τοὺς κνῖπας· καὶ [illegible] οἱ μὲν ἄλλοι, σύννομοι
ἐν ὕλῃ καὶ παρὰ [illegible]· αἴθυιαι δὲ ἐγέ-
νοντο πρὸς ῥηγμῖνάς τε καὶ θάλασσαν: Εὐμήλου

Μεροπὶς ιε

τοῦ Μέροπος ἐγένοντο παῖδες ὑπερήφανοι καὶ
ὑβρισταί· Βύσσα καὶ Μεροπὶς καὶ Ἄγρων· καὶ ᾤ-
κουν Κῶν τὴν Μεροπίδα νῆσον· καὶ ἡ γῆ πλεῖστον
αὐτοῖς ἐξέφερε καρπόν, ὅτι μόνην θεῶν ἐτίμων
καὶ ἐπιμελῶς αὐτὴν εἰργάζοντο· οὗτοι ἀνθρώπων
οὐδενὶ συνῆλθον, οὔτε ἐς ἄστυ κατιόντες, οὔτε
προσ[illegible] καὶ θεῶν ἑορτάς· ἀλλὰ μὲν Ἀθη-
ναίῃ τις ἱερὰ ποιῶν ἐκάλεσε τὰς κόρας, ἀπε-
λέγοντο δὲ [illegible] τὴν κλῆσιν· οὐ γὰρ ἀγαπᾶν
ἔφησαν γλαυκῶπιν θεόν, ὅτι ταῖς αὐταῖς κόραις ὀ-
φθαλμοὺς ἐν [illegible] ἐχθαίρειν δὲ παρὰ πολλὰ
καὶ τὴν ὄρνιν· [illegible] παρὰ τὴν Ἄρτεμιν
[illegible] θεόν· [illegible] πρὸς
[illegible] θεόν·
[illegible]
καὶ οἱ μὲν [illegible] Ἑρμῆς δὲ καὶ

ἱστορεῖ Βοῖος Ὀρνιθογονίας α'

ἀθηνᾶ καὶ ἄρτεμις χολούμενοι μυκτῶς ἐπε-
φήμισαν αὐτῶν τοῖς οἴκοις. ἀθηνᾶ μὲν καὶ ἄρτε-
μις, ἐοικυῖαι κόραις· ἑρμῆς δὲ, ποιμένος ἔ-
χων στολήν. καὶ τὸν εὔμηλον καὶ τὸν ἄγρωνα
προσαγορεύσας, παρεκάλει παρατυχεῖν ἐς δαῖτα·
διδόναι γὰρ ἱερὰ μετὰ τῶν ἄλλων ποιμένων, ἑρ-
μῇ. βύσσαν δὲ καὶ μεροπίδα πρὸς τὰς ὁμήλι-
κας ἐκέλευε πέμψαι, ἐς τὸ τῆς ἀθηνᾶς καὶ ἀρ-
τέμιδος ἄλσος. καὶ ταῦτα μὲν, ἐπεὶ εἶπεν ἑρμῆς, με-
ροπὶς δ' ὡς ἤκουσεν, ἐξύβρισε πρὸς τὸ ὄνομα
τῆς ἀθηνᾶς· ἡ δὲ αὐτὴν ἐποίησεν ὄρνιθα γλαῦ-
κα· βύσσαν δὲ, τῷ αὐτῷ ὀνόματι λέγεσθαι, καὶ ἀνῆ-
κε θέας ὄρνις. ἄγρων δ' ὡς εὐθέως, ἀρπάσας ὀ-
βελὸν ἐξέδραμεν· ἑρμῆς δ' αὐτὸν ἐποίησε χαρά-
δριον· εὔμηλος δὲ τὸν ἑρμῆν ἐμέμφετο, ὅτι με-
τεμόρφωσεν αὐτοῦ τὸν υἱόν· ὁ δὲ, καὶ αὐτὸν ἐποί-
ησε νυκτικόρακα καὶ κακάγγελον:

ις΄ — οἰνόη

Παρὰ τοῖς
λεγομένοις ἀνδράσι πυγμαίοις, ἐγένετο παῖς ὄνο-
μα οἰνόη. τὸ μὲν εἶδος οὐ μεμπτή, ἄχαρις δὲ τὸ
ἦθος καὶ ὑπερήφανος· ταύτῃ φροντὶς οὐδεμία
ἐγίνετο τῆς ἀρτέμιδος οὐδὲ ἥρας. γαμηθεῖσα
δὲ νικοδάμαντι τῶν πολιτῶν ἐπιεικεῖ καὶ μετρίῳ, καὶ ἔτε-
κε παῖδα μόψον· καὶ αὐτῇ πυγμαῖοι πάν-
τες κατὰ φιλοφροσύνην, πολλὰ δῶρα πρὸς τὴν
γένεσιν τοῦ παιδὸς ἀπήνεγκαν. ἥρα δὲ μεμ-
φθεῖσα τὴν οἰνόην ὅτι αὐτὴν οὐκ ἐτίμα, γέρα-
νον αὐτὴν ἐποίησε· καὶ τὸν αὐχένα μακρὸν
ἐξέτεινε. καὶ ἀπέδειξεν ὑψιπέτην ὄρνιθα· καὶ
πόλεμον ἐνέβαλεν αὐτῇ τε καὶ τοῖς πυγμαίοις·
οἰνόη δὲ διὰ τὸν πόθον τοῦ παιδὸς μόψου, περιε-
πέτετο τοῖς οἰκίαις, καὶ οὐκ ἐξελίμπανε· πυγμαῖ-
οι δὲ καθοπλισάμενοι πάντες, ἐδίωκον αὐτήν·
καὶ ἐκ τούτου ἔτι καὶ νῦν πυγμαίοις καὶ γεράνοις,

ση(μείωσαι) αἰτία δι' ἣν αἱ γέρανοι τοῖς πυγμαίοις ἐν πολέμῳ εἰσί

ἱστορεῖ βοῖος, ὀρνιθογονίας β΄.

πόλεμος ἐνέστηκε:

λεύκιππος ιζ

Γαλάτειαν Εὐρυτίου τοῦ Σπάρτωνος ἐγήματο ἐν Φαιστῷ τῆς Κρήτης Λάμπρος ὁ Πανδίονος, ἀνδρὶ τὰ μὲν ἐς γένος ἀγαθός, ἐχομένῳ βίου δὲ ἐνδεής. οὗτος ἐπεὶ δὴ ἐγκύμων ἦν ἡ Γαλάτεια, ηὔξατο μὲν ἄρρενα γενέσθαι αὐτῷ παῖδα· προηγόρευσε δὲ τῇ γυναικὶ εἰ ἂν γένηται κόρη, ἀφανίσαι. καὶ ὁ μὲν οὗτος ἀπιὼν ἐποίμαινεν τὰ πρόβατα. τῇ δὲ Γαλατείᾳ θυγάτηρ ἐγένετο. καὶ κατοικτείρασα τὸ βρέφος καὶ τὴν ἐρημίαν τοῦ οἴκου λογισαμένη, συλλαμβανομένων δὲ καὶ τῶν ὀνείρων καὶ τῶν μάντεων, οἳ προηγόρευον τὴν κόρην ὡς κόρον ἐκτρέφειν, ἐψεύσατο τὸν Λάμπρον, ἄρρενα λέγουσα τεκεῖν. καὶ ἐξέτρεφεν ὡς παῖδα κοῦρον, ὀνομάσασα Λεύκιππον. ἐπεὶ δὲ ηὔξετο ἡ κόρη καὶ ἐγένετο ἀφάτου τι κάλλους, δείσασα τὸν Λάμπρον ἡ Γαλάτεια, ὅσον οὐκ ἐνῆν ἔτι λαθεῖν, κατέφυγεν ἐς τὸ τῆς Λητοῦς ἱερόν. καὶ πολλὰ τὴν θεὸν ἱκέτευεν, ὅπως αὐτῇ κόρος ἡ παῖς ἀντὶ τῆς θυγατρὸς δύναιτο γενέσθαι· καθάπερ ὅτε Καινὶς μὲν Ἀτραίου οὖσα θυγάτηρ, βουλῇ Ποσειδῶνος ἐγένετο Καινεὺς ὁ Λαπίθης. Τειρεσίας δὲ γυνὴ μὲν ἐξ ἀνδρός, ὅτι τοὺς ἐν τῇ τριόδῳ μιγνυμένους ὄφεις ἐπιτυχὼν ἀπέκτεινεν. ἐκ δὲ γυναικὸς αὖθις ἀνὴρ ἐγένετο, δι' αὐτὸ δράκοντα πολλάκις. παραλείπω δὲ καὶ Ὑπερμήστραν πιπρασκομένην μὲν ἐν γυναικὶ μέν, ἀρᾶσθαι τιμόν· ἄνδρα δὲ γενομένην, Αἴθωνι τροφὴν ἀποφέρειν τῷ πατρί· μέμνημαι δὲ καὶ τὸν Κρῆτα Σιπροίτην, ὅτι κυνηγετῶν λουομένην ἴδε τὴν Ἄρτεμιν. ἡ δὲ Λητὼ συνεχῶς ὀδυρομένην καὶ ἱκετεύουσαν ᾤκτειρε τὴν Γαλάτειαν. καὶ μετέβαλε τὴν φύσιν τῆς παιδὸς ἐς κόρον. ταύτης ἔτι μέ-

ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β̄

μνήμην τῆς μεταμορφώσεως, Φαίστιοι καὶ θύουσι Φυ-
τίῃ Λητοῖ, ὅτι ἐφύσησε μήδεα τῇ κόρῃ· καὶ τὴν
ἑορτὴν Ἐκδύσια καλοῦσιν, ἐπεὶ τὸν πέπλον ἡ
παῖς ἐξέδυ· νόμιμον δ' ἐστὶν ἐν τοῖς γάμοις, προτέ-
ρον παρακλίνεσθαι παρὰ τὸ ἄγαλμα τοῦ Λευκίπ-
που:

ιη΄ — Ἀέροπος

Εὔμηλος ὁ παῖς ὁ Ἀγγνώτου, κατῴ-
κει ἐν Θήβαις ταῖς Βοιωτίαις· καὶ αὐτῷ παῖς
ἐγένετο Βότρης ὄνομα· οὗτος ὁ Εὔμηλος, ἐτίμα
μεγαλοπρεπῶς τὸν Ἀπόλλωνα· καί ποτε θύοντος
αὐτοῦ, παρὼν ὁ παῖς Βότρης, ἐδαίσατο τὸν ἐγκέ-
φαλον τοῦ ἀρνός, πρὶν ἐπὶ τὸν βωμὸν καταθῦ-
σαι· μαθὼν δὲ τοῦτο γενόμενος Εὔμηλος, προσέκρου-
σε κατ' ὀργὴν πρὸς τὴν κεφαλὴν αὐτοῦ τὸν δα-
λὸν ἀφελὼν ἐκ τοῦ βωμοῦ· καὶ ὁ παῖς, καταρρυέν-
τος τοῦ αἵματος καταπεσὼν ἤσπαιρεν· ἡ δὲ
μήτηρ ὡς εἶδεν καὶ ὁ πατὴρ καὶ οἱ θεράποντες,
μέγιστον ἐποίησαν κοπετόν· Ἀπόλλων δὲ οἰ-
κτείρας, ἐπεὶ αὐτὸν Εὔμηλος ἐτίμα, ὄρνιθα ἐποί-
ησεν τὸν παῖδα, Ἀέροπος γίνεται· τίκτει μὲν
ὑπὸ γῆς· ἀεὶ δὲ μελετᾷ πέτεσθαι:

ιθ΄ — Φῶρες

Ἐν Κρήτῃ
λέγεται εἶναι ἱερὸν ἄντρον μελισσῶν· ἐν ᾧ μυθο-
λογοῦσι τεκεῖν Ῥέαν τὸν Δία· καὶ ἐστὶν ὅσιον οὐδέ-
να παρελθεῖν· οὔτε θεὸν οὔτε θνητόν· ἐν δὲ χρό-
νῳ ἀφωρισμένῳ ὁρᾶται καθ' ἕκαστον ἔτος πλεῖ-
στον ἐκλάμπον ἐκ τοῦ σπηλαίου πῦρ· τοῦτο δὲ γί-
νεσθαι μυθολογοῦσιν, ὅταν ἐκζέῃ τὸ τοῦ Διὸς
ἐκ γενέσεως αἷμα· κατέχουσι δὲ τὸ ἄντρον
ἱεραὶ μέλιτται τροφοὶ τοῦ Διός· ἐς τοῦτο παρελ-
θεῖν ἐθάρρησαν Λάϊος· καὶ Κελεὸς καὶ Κέρβερος·
καὶ Αἰγωλιός, ὅπως πλεῖστον ἀρύσωνται μέλι· καὶ
περιθέμενοι περὶ τὸ σῶμα πάντη χαλκὸν ἀ-
ρυσάμενοι τοῦ μέλιτος τῶν μελισσῶν· καὶ τὰ τοῦ
Διὸς εἶδον σπάργανα· καὶ αὐτῶν ὁ χαλκὸς ἐρράγη

περὶ τὸ σῶμα. Ζεὺς δὲ βροντήσας, ἀνέσεισε τὸν
κεραυνόν· Μοῖραι δὲ καὶ Θέμις ἐκώλυσαν·
οὐ γὰρ ἦν ὅσιον αὐτόθι θανεῖν οὐδένα· καὶ ὁ Ζεὺς
πάντας αὐτοὺς ἐποίησεν ὄρνιθας· καὶ ἐγένετο
ἐξ αὐτῶν τὸ γένος τῶν οἰωνῶν, λάιοι καὶ κελεοὶ
οἱ καὶ κέρβεροι καὶ αἰγωλιοὶ καὶ ὅσοι ἂν ἀγαθοὶ
φανέντες, καὶ ἐπιτελεῖς παρὰ τοὺς ἄλλους ὄρ-
νιθας, ὅτι τοῦ Διὸς εἶδον τὸ αἷμα:

ΚΛΕΙΝΙΣ κ΄

Τῆς λε-
γομένης Μεσοποταμίας περὶ Βαβυλῶνα πό-
λιν, ᾤκει κεῖνος ἀνὴρ θεοφιλὴς καὶ πλούσιος,
ὄνομα Κλεῖνις, ἔχων πολλοὺς βοῦς καὶ ὄνους
καὶ πρόβατα· τοῦτον ἔτι πως ἐφίλησεν Ἀπό-
λλων καὶ Ἄρτεμις· καὶ πλειστάκις ὁμοῦ τοῖς
θεοῖς τούτοις, ἀφίκετο πρὸς τὸν ναὸν τοῦ Ἀ-
πόλλωνος τοῦ ἐν Ὑπερβορέοις, καὶ εἶδεν ἱερουρ-
γουμένας αὐτῷ τὰς θυσίας τῶν ὄνων· πα-
ραγενόμενος δὲ ἐς Βαβυλῶνα, καὶ αὐτὸς ἐ-
βούλετο καθάπερ ἐν Ὑπερβορέοις ἱερεύειν τῷ
θεῷ· καὶ τὴν ἑκατόμβην τῶν ὄνων ἔστησεν πα-
ρὰ τὸν βωμόν· Ἀπόλλων δὲ παραγενόμενος
ἠπείλησεν ἀποκτενεῖν αὐτόν, εἰ μὴ παύσαι-
το τῆς θυσίας ταύτης· καὶ κατεσήμηνεν αἶ-
γας αὐτῷ καὶ πρόβατα καὶ βοῦς ἱερεύειν· τὴν
γὰρ τῶν ὄνων θυσίαν, ἐν Ὑπερβορέοις ἀγομέ-
νην, αὐτῷ καθ᾽ ἡδονὴν εἶναι· καὶ Κλεῖνις δεί-
σας τὴν ἀπειλήν, ἀπῆγεν ἀπὸ τοῦ βωμοῦ τοὺς
ὄνους· καὶ τὸν λόγον ὃν ἤκουσεν, ἐξέφερεν πρὸς
τοὺς παῖδας. ἦσαν δὲ αὐτῷ παῖδες, Λύκιος καὶ
Ὀρτύγιος καὶ Ἅρπασος· καὶ θυγάτηρ Ἀρτεμί-
χη· παῖδες ἐκ μητρὸς Ἅρπης· Λύκιος μὲν
οὖν καὶ Ἅρπασος ἀκούσαντες, ἐκέλευον ἱερεύειν
τοὺς ὄνους καὶ τέρπεσθαι τῇ ἑορτῇ· Ὀρτύγιος
δὲ καὶ Ἀρτεμίχη, πείθεσθαι τῷ Ἀπόλλωνι προσ-

ἱστορεῖ Βοῖος β΄ καὶ Σιμμίας ὁ Ῥόδιος Ἀπόλλωνι:~

τασσον· καὶ ἐπὶ τούτοις ὁ Κλεῖνις ὠδύρετο μάλ-
λον· Ἅρπασος δὲ καὶ Λύκιος κατακάμψαντες ἑλκ-
ύσαντες τῶν δεσμῶν τοὺς ὄνους ἀπήλαυ-
νον παρὰ τὸν βωμόν· καὶ ὁ θεὸς ἐνέβαλε τοῖς
ὄνοις λύσσαν· οἱ δὲ τούς τε παῖδας καὶ τοὺς
θεράποντας αὐτῶν καὶ τὸν Κλεῖνιν κατήσθιον·
οἱ δὲ ἀπολλύμενοι τοὺς θεοὺς ἐπεκαλοῦντο·
καὶ Ἀρπάκην μὲν καὶ Ἅρπασον ᾤκτειρε Ποσει-
δῶν· καὶ ἐποίησεν αὐτοὺς ὄρνιθας τοῖς αὐ-
τοῖς γενομένους ὀνόμασι· Λητὼ δὲ καὶ Ἄρτε-
μις ἔγνωσαν ἀνασῶσαι τὸν Κλεῖνιν· καὶ τὴν
Ἀρτεμίχην καὶ τὸν Ὀρτύγιον ὅτι οὐκ αἴτιοι
τῶν ἀσεβημάτων ἦσαν· Ἀπόλλων δὲ Λητοῖ
καὶ Ἀρτέμιδι δίδωσι τὴν χάριν· καὶ πρόσθεν
ἢ ἀποθανεῖν μεταβαλὼν ἐποίησεν πάντας
ὄρνιθας· καὶ ἐγένετο Κλεῖνις μὲν ὑπαίετος·
οὗτος ἐστὶ δεύτερος ὀρνίθων μετὰ τὸν αἰετόν·
διαγνῶναι δ' οὐ χαλεπῶς· ὁ μὲν γάρ ἐστι νεβρο-
φόνος ἐρεμνὸς μέγας τε καὶ ἄλκιμος· ὁ δ' αἰετὸς
μελάντερος· καὶ ἐλάσσων ἐκείνου· Λύκιος δὲ
μεταβαλὼν ἐγένετο κόραξ τὸ χρῶμα λευκός· αὖ-
τις δὲ βουλῇ Ἀπόλλωνος ἐγένετο κυάνεος· ὅτι
πρῶτος ἤγγειλε Κορωνίδα τὴν Φλεγύου θυγα-
τέρα γαμηθεῖσαν Ἀλκυονεῖ· Ἀρτεμίχη δὲ ἐγέ-
νετο πίφιγξ· θεοῖς τε καὶ ἀνθρώποις προσφι-
λὴς ὄρνις· Ὀρτύγιος δὲ αἰγίθαλλος· ὅτι τὸν
πατέρα Κλεῖνιν ἀνέπεισε θύειν αἶγας ἀντὶ τῶν ὄνων
ἱερεῦσαι Ἀπόλλωνι:

κα' Πολυφόντη

Τερείνης τῆς Στρυμό-
νος καὶ Ἄρεως ἐγένετο θυγάτηρ Θρᾷσσα· ταύ-
την δ' ἐγήματο Ἱππόνους ὁ Τριβαλλοῦ παῖς· καὶ
αὐτοῖς ἐγένετο θυγάτηρ ὄνομα Πολυφόντη·
αὕτη τὰ μὲν ἔργα τῆς Ἀφροδίτης ἐξημέριζεν·
ἐχθοῦσα δ' ἀφῶρος, Ἀρτέμιδος ἐγένετο συμ-

ἱστορεῖ Βοῖος Ὀρνιθογονίας β΄·

παίκτρια καὶ ὁμιλητὶς· Ἀφροδίτη δὲ ὅτι αὐ-
τῆς κατίμασε τὰ ἔργα, ἔρωτα ἐνέβαλεν ἄρ-
κτου. καὶ ἐξεμάνη ἐν αὐτῇ· κατὰ δὲ καταδαί-
μονα οἰστρήσασα, ἐμίγνυτο τῇ ἄρκτῳ· καὶ
αὐτὴν κατ' Ἄρτεμις ἰδοῦσα, ἐκπάγλως ἐμίση-
σεν· καὶ παρμαίνουσα αὐτὴν ἐρεῖσε τὰ θηρία· Πο-
λυφόντη δὲ δείσασα μὴ καὶ θὴρ δὲ αὐτὴν διερ-
γάσωνται· ἐφεύγουσα ἐξίκετο ἐς τὰ οἰκία τοῦ
πατρός· καὶ ἔτεκε δύο παῖδας Ἄγριον καὶ Ὄρει-
ον· μεγίστους καὶ δύναμιν ἔχοντας ἄπειρον·
οὗτοι ἐτίμων οὔτε θεὸν οὔτε ἀνθρώπων· ἀλλ' ἐξυ-
βρίζον ἅπαντας· καὶ ὅτῳ ξένων ἐπιτύχοιεν,
ἀπάγοντες ἐς τὰ οἰκία κατήσθιον· Ζεὺς δὲ
μισήσας αὐτούς, ἀπέστειλεν Ἑρμῆν ὅπως ἣν
ἐθέλῃ δίκην αὐτοῖς ἐπιθήκῃ· καὶ ὁ μὲν Ἑρμῆς
ἐβουλεύσατο ἀποκόψαι τοὺς πόδας αὐτῶν καὶ
τὰς χεῖρας· Ἄρης δ' ἐπεὶ τοῦ γένους ἦν αὐτῶν ἀνέ-
φερε Πολυφόντην, τούτου μὲν ἐξήρπασε τοῦ μό-
ρου τοὺς παῖδας· Ἑρμῆς δὲ μετέβαλον τὴν
φύσιν αὐτῶν ἐς ὄρνιθας· καὶ ἐγένετο Πολυφό-
τη μὲν στύξ· φθεγγομένη νύκτωρ· ἄσιτος του
καὶ ποτοῦ, τὴν κεφαλὴν ἴσχουσα κάτω· τοὺς δὲ
πόδας ἄκρους ἄνω, πολέμου καὶ στάσεως ἀνθρώ-
ποις ἄγγελος· Ὄρειος δὲ ἐγένετο λαγὼς ὄρνις ἐ-
π' οὐδενὶ φαινόμενος ἀγαθῷ· Ἄγριος δὲ, με-
τεκαλεῖτο γύψ, πάντων ὀρνίθων ἔχθιστον θε-
οῖς τε καὶ ἀνθρώποις· καὶ διαπαντὸς ἵμερον
αὐτῷ κρεῶν καὶ αἵματος ἐνέθηκαν ἀνθρωπεί-
ου· τὴν δὲ θεράπαιναν αὐτῶν, ἐποίησαν ἴπνη(?)
ἣ δὲ μεταλλάσσουσα τὴν φύσιν ηὔξατο θεοῖς
μὴ κακὸς ὄρνις ἀνθρώποις γενέσθαι· καὶ αὐ-
τῆς ἐπακούσαντες Ἑρμῆς καὶ Ἄρης· ὅτι κατ' ἀ-
νάγκας ἔδρασεν, ἃ προσέταττον οἱ δεσπόται·

καὶ ἐγένετο ἀγαθὸς οὗτος ὁ ὄρνις, ἐπεὶ θηρᾶται ὄρνι-
καὶ διαιτᾶται:

κβ΄ Τέραμβος ὁ Εὐσείρου τοῦ Ποσειδῶ-

νος καὶ Εἰδοθέας νύμφης Ὀθρηΐδος ᾤκει ἐν

τῇ γῇ τῇ Μηλιέων παρὰ τὴν ὑπώρειαν τῆς

Ὄθρυος. ἐγένοντο δὲ αὐτῷ θρέμματα πάμπλειστα.

καὶ ταῦτα ἐποίμαινεν αὐτός. νύμφαι δὲ συνε-

χαιρον αὐτῷ, διότι ταύτας ἐν τοῖς ὄρεσιν ᾄδων

ἔτερπεν. λέγεται γὰρ μουσικώτατος τῶν τότε

γενέσθαι. καὶ ἐπὶ ποιμενικοῖς ᾄσμασι διαβοη-

θῆναι. καὶ σύριγγα ποιμενικὴν ἐν τοῖς ὄρεσι

συνθεῖναι. καὶ λύρᾳ πρῶτος ἀνθρώπων κε-

χρῆσθαι. ποιῆσαι δὲ καὶ κάλλιστα μέλη. ποιῆ-

σαι· τούτων οὖν χάριν λέγουσιν ἐφθῆναι αὐ-

τῷ ποτε νύμφας. καὶ χορεῦσαι πρὸς τὰ κρού-

ματα τοῦ Τεράμβου. παρὰ δὲ τοῦτο καὶ Πᾶ-

να εὔνοιαν αὐτῷ παραγγεῖλαι· καταλιπόντι τὴν Ὄ-

θρυν, ἐν τῷ πεδίῳ τὰ πρόβατα ποιμαίνειν·

ἐξαίσιον γάρ τι καὶ ἄπιστον χρῆμα χειμῶνος ἐ-

πελεύσεσθαι. ὁ δὲ Τέραμβος, ὑπὸ μεγαλαυχί-

ας ἐκ νεότητος οἷα ἐκ θεοῦ βεβλαμμένος, ἀπεχαύνωσεν

μὲν ἐκ τῆς Ὄθρυος ἐς τὸ πεδίον οὐκ ἐγίγνωσκεν·

ἀπέρριψε δέ, λόγον ἄχαριν τε καὶ ἀμόλυντον ἐς

τὰς νύμφας ὅτι γένος μὲν ἐστὶν οὐκ ἀπὸ Διός·

ἀλλὰ ἔτεκεν αὐτὰς Κλειοῦς τοῦ Σπερχειοῦ· Ποσειδῶ-

να δὲ πόθοι μίαν αὐτῶν διοπάτρην, τὰς ἀδελ-

φὰς ἐρεθίζοντε, καὶ ἐποίησεν αἰγείρους ἄχρι

αὐτὸς κορέσθη τῆς ὥρης, ἀμείψασθε. καὶ ποί-

ημα αὐταῖς ἀπέδωκε τὴν ἐξ ἀρχῆς φύσιν·

τοιαῦτα μὲν ὁ Τέραμβος ἐκερτόμησεν ἐς τὰς

νύμφας· μετὰ δὲ χρόνον ὀλίγον, ἐξαίφνης

ἐγένετο κρυμός. καὶ ἐπάγησαν αἱ χαράδραι.

καὶ πολλὴ κατενίφε χιών. καὶ τὰ ποίμνια τοῦ

Τεράμβου σὺν αὐταῖς ἀτραποῖς καὶ δένδρεσι

Ἱστορεῖ Νίκανδρος ἐν α΄ Ἑτεροιουμένων·

Τέραμβος

σημείωσαι ὅτι ποιμενικὴν σύριγγα συνέθηκεν· καὶ λύρᾳ ἐχρήσατο πρῶτος·

κεφαρίσθη(?) ... μεταβαλοῦσαι(?) καὶ ὀργὴν
τὸν ... ὅτι αὐταῖς ἐλοιδόρησε· καὶ ἐγέ-
νετο ξυλοφάγος κεράμβυξ· φαίνεται δὲ ἐπὶ τῶν
ξύλων καὶ ἔχει γένυν ἀγκύλην· ἐπικινεῖ(?) τῶν ὀδόντων καὶ συ-
νεχῶς τὰ γένεια κινεῖ· μέλας, παραμήκης, πτέ-
ρυγας στερεὰς ἔχων, ἐοικὼς τοῖς μεγάλοις καν-
θάροις· οὗτος ξυλοφάγος καλεῖται καὶ παρὰ τοῖς πα-
ρὰ δὲ Θεσσαλοῖς κεράμβυξ· τοῦτον οἱ παῖδες
παίγνιον ἔχουσι καὶ τὴν κεφαλὴν ἀποτέ-
μνοντες φοροῦσιν· ἡ δὲ ἔοικεν σὺν τοῖς κέρα-
σι λύρᾳ τῇ ἐκ τῆς χελώνης:

ΒΑΤΤΟΣ ΚΓ

Ἄργου τοῦ
Φρίξου καὶ Περιμήλης τῆς Ἀδμήτου θυγα-
τρὸς ἐγένετο Μάγνης· οὗτος ᾤκησεν ἐγγὺς
Θεσσαλίας καὶ τὴν γῆν ταύτην ἀπ' αὐτοῦ Μα-
γνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι· ἐγένε-
το δὲ αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν, Ὑμέ-
ναιος· ἐπεὶ δὲ Ἀπόλλωνα ἔρως ἔλαβε τοῦ
παιδὸς, καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ
Μάγνητος, Ἑρμῆς ἐπιβουλεύει τῇ ἀγέλῃ τῶν
βοῶν τοῦ Ἀπόλλωνος· αἱ δὲ ἐνέμοντο ἔνθαπερ
ἦσαν αἱ Ἀδμήτου βόες· καὶ πρῶτα μὲν ἐμβάλ-
λει ταῖς κυσὶν αἳ ἐφύλαττον αὐτὰς λήθαργον
καὶ κυνάγχην· αἱ δὲ ἐξελάθοντο τῶν βοῶν
καὶ τὴν φυλακὴν ἀπώλεσαν· ἔπειτα δ' ἀπελαύνει
πόρτιας ιβ' καὶ ἑκατὸν βοῦς ἀζυγας καὶ ταῦ-
ρον ὃς ταῖς βουσὶν ἐπέβαινεν· ἐξῆπτε δὲ ἐκ τῆς
οὐρᾶς πρὸς ἑκάστην ὕλην, ὅπως ἂν τὰ ἴχνη τῶν
βοῶν ἀφανίσῃ, καὶ ἤγαγεν αὐτὰς ἐλαύνων διά
τε Πελασγῶν καὶ διὰ Ἀχαΐας τῆς Φθιώτιδος
καὶ διὰ Λοκρίδος καὶ Βοιωτίας καὶ Μεγαρίδος
καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου
καὶ Λαρίσης ἄχρι Τεγέας· καὶ ἐντεῦθεν παρὰ
τὸ Λύκαιον ὄρος ἐπορεύετο καὶ παρὰ τὸ Μαίναλον

ἀπὸ θέντι(?) τῆι Μαγνησίαι χώραι τοὔνομα·

ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α' καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις καὶ Διδύμαρχος μεταμορφώσεων γ' καὶ Ἀντίγονος ἐν ταῖς Ἀλλοιώσεσι καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν ἐπιγράμμασιν, ὥς φησι Πάμφιλος ἐν α'·

καὶ τὰς λεγομένας Βάττου σκοπιὰς ᾤκει·
δὲ ὁ Βάττος οὗτος, ἐπ' ἄκροις τοῖς σκοπέλοις
καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομέ-
νων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκείων ἔ-
γνω περὶ τῶν βοῶν ὅτι κλοπιμαίας ἄγει· καὶ
μισθὸν ᾔτησεν, ἵνα πρὸς μηδένα φράσῃ
περὶ αὐτῶν· Ἑρμῆς δὲ δώσειν ἐπὶ τούτοις ὑ-
πέσχετο· καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν,
πρὸς μηδένα κατερεῖν. ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς
ἔκρυψεν ἐν τῷ πρηῶνι παρὰ τὸ Κορυφάσιον
ἐς τὸ σπήλαιον τὸ ἐστραμμένον ἀντικρὺ Ἰταλίας καὶ
Σικελίας, αὖθις ἀφικνεῖται πρὸς τὸν Βάττον ἀλ-
λάξας ἑαυτόν· καὶ πειρώμενος εἰ αὐτῷ ἐμμένειν
ἐν τοῖς ὅρκοις ἐθέλοι, διδοὺς δὲ μισθὸν χλαῖ-
ναν, ἐπυνθάνετο παρ' αὐτοῦ μὴ κλοπιμαίας βοῦς
ἔγνω παρελαθείσας· ὁ δὲ Βάττος ἔλαβε τὴν
χλαμύδα, καὶ ἐμήνυσε περὶ τῶν βοῶν. Ἑρμῆς
δὲ χαλεπήνας ὅτι διχόμυθος ἦν, ἐράπισεν
αὐτὸν τῇ ῥάβδῳ καὶ μετέβαλεν εἰς πέτρον. καὶ
αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα. λέγε-
ται δὲ καὶ ὁ τόπος παρ' ὁδοιπόρων ἄχρι νῦν σκο-
πιαὶ Βάττου:

κδ — Ἀσκάλαβος

Δημήτηρ ὅτ' ἐπλανῆτο
ἐπὶ γῆν ἅπασαν, κατὰ ζήτησιν τῆς θυγα-
τρός, ἀνεπαύσατο ἐν τῇ Ἀττικῇ· καὶ αὐτὴν
ὑπὸ πολλοῦ καύματος ὑποδέχεται Μισμή· καὶ
δίδωσι ποτὸν ὕδωρ, ἐμβαλοῦσα γλήχωνα καὶ
ἄλφιτον ἐς αὐτό. καὶ ἡ Δημήτηρ ἐξέπιε κα-
τὰ δίψος τὸ ποτὸν ἀθρόον. ὁ δὲ παῖς ὁ τῆς
Μισμῆς Ἀσκάλαβος ἰδὼν ἐποιήσατο γέλωτα·
καὶ αἰτεῖσθαι ἐκέλευεν ὀρέγειν αὐτῇ λεκάνην βα-
θεῖαν· ἡ θεὰ δὲ ἀγανακτήσασα κα-
τέχεεν αὐτοῦ τὸ καταλειφθὲν ποτόν· ὁ δὲ
μεταβαλὼν ἐγένετο ποικίλος ἐκ τοῦ σώματος

ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'

ἀσκάλαβος καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων με-
μίσηται καὶ ἐστὶν αὐτῷ δίαιτα παρ᾽ ὀχετόν. ὁ
δ᾽ ἀποκτείνας κεχαρισμένος γίνεται Δήμητρι:

Μητιόχης κε΄ Μενίππης

Ὠρίωνος τοῦ Ὑριέως ἐν Βοιωτίᾳ θυγατέρες
ἐγένοντο Μητιόχη καὶ Μενίππη. αὗται, ὅτε Ὠ-
ρίωνα ἠφάνισεν ἐξ ἀνθρώπων Ἄρτεμις, ἐτρέ-
φοντο παρὰ τῇ μητρί. καὶ Ἀθηνᾶ μὲν ἐδίδα-
σκεν αὐτὰς ἱστοὺς ἐξυφαίνειν. Ἀφροδίτη δὲ
αὐταῖς ἔδωκε κάλλος. ἐπεὶ δὲ Ἀονίαν ὅλην
ἔλαβε λοιμός, καὶ πολλοὶ ἀπέθνησκον, θεωροὺς
ἀπέστειλαν παρὰ τὸν Ἀπόλλωνα τὸν Γορτύνιον.
καὶ αὐτοῖς εἶπεν ὁ θεὸς ἱλάσασθαι δύο τοὺς ἐρι-
ουνίους θεούς. ἔφη δὲ καταπαύσειν αὐτοὺς
τὴν μῆνιν, εἰ δύο ἑκοῦσαι παρθένοι
θύματα γένοιντο. πρὸς δὲ δὴ τὸ μαντεῖον οὐ-
δεμία τῶν ἐν τῇ πόλει παρθένων ὑπήκουσεν,
ἄχρι γυνὴ θῆσσα τὸν χρησμὸν ἐξήνεγκε πρὸς
τὰς θυγατέρας τοῦ Ὠρίωνος. αἱ δὲ ὡς ἐπύθοντο
παρὰ τὸν ἱστὸν ἔχουσαι, τὸν ὑπὲρ αὐτῶν θάνατον
ἐδέξαντο, πρὶν ἢ τὴν ἐπιδήμιον ἐπιπεσοῦσαν
αὐτὰς ἀφανίσαι νόσον. τρὶς δὲ βοήσασαι
χθονίους δαίμονας, ὅτι αὐτοῖς ἑκοῦσαι θύμα-
τα γίνονται, ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι πα-
ρὰ τὴν κλεῖδα, καὶ ἀνέρρηξαν τὴν σφαγήν. καὶ
αὗται μὲν ἀμφότεραι κατέπεσον ἐς τὴν γῆν.
Φερσεφόνη δὲ καὶ Ἅιδης οἰκτείραντες, τὰ
μὲν σώματα τῶν παρθένων ἠφάνισαν. ἀντὶ
δὲ ἐκείνων, ἀστέρας ἀνήνεγκαν ἐκ τῆς γῆς. οἱ
δὲ φανέντες, ἀνηνέχθησαν ἐς οὐρανόν. καὶ
αὐτοὺς ὠνόμασαν ἄνθρωποι κομήτας. ἱδρύσαν-
το δὲ πάντες Ἀόνες ἐν Ὀρχομενῷ τῆς Βοιωτί-
ας, ἱερὸν ἐπίσημον τῶν παρθένων τούτων. καὶ
αὐταῖς καθ᾽ ἕκαστον ἔτος κοῦροί τε καὶ κόραι, μει-

ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ΄· καὶ Κόριννα
ἑτεροίων α΄:

μειλίγματα φέρουσι· προσαγορεύουσι δ' αὐτὰς ἄχρι
νῦν Ἄονες Κορωνίδας παρθένους:

κϛ Ὕλας

Ἡρακλῆς
ὅτε μετὰ τῶν Ἀργοναυτῶν ἔπλει, στρατηγὸς ὑπ' αὐ-
τῶν ἀποδειχθείς, συνεπήγετο μεθ' αὐτοῦ καὶ Ὕ-
λαν, παῖδα μὲν Κήϋκος, νέον δὲ καὶ
καλόν· ἐπεὶ δὲ πρὸς τὸ στενὸν ἐξίκοντο τοῦ πόν-
του, καὶ τὰς πέτρας παρεξέπλευσαν τῆς Ἀργανθώ-
νης, καὶ ἐγένετο χειμὼν καὶ σάλος, ἐνταῦθα
καταβαλόντες ἀγκύρας, ἀνέπαυσαν τὴν ναῦν·
καὶ Ἡρακλῆς παρεῖχε τοῖς ἥρωσι τὸ δεῖπνον· ὁ
δὲ παῖς ὁ Ὕλας, ἔχων κρωσσόν, ᾔει πρὸς τὸν Ἀ-
σκάνιον ποταμὸν ὕδωρ ἀποίσων τοῖς ἀριστεῦ-
σι· καὶ αὐτὸν ἰδοῦσαι νύμφαι τοῦ ποταμοῦ τού-
του θυγατέρες, ἠράσθησαν· ἀρυόμενον δὲ κα-
ταβάλλουσιν ἐς τὴν κρήνην· καὶ ὁ μὲν Ὕλας, ἀ-
φανὴς ἐγένετο· Ἡρακλῆς δ' ὡς αὐτῷ οὐκ ἐ-
νόστει· καταλιπὼν τοὺς ἥρωας, ἐξηρεύνα πάν-
ταχοῖ τὸν δρυμόν· καὶ ἐκάλει πολλάκις τὸν
Ὕλαν· νύμφαι δὲ δείσασαι τὸν Ἡρακλέα, μὴ αὐ-
τὸν εὕροι κρυπτόμενον παρ' αὐταῖς, μετέβαλον
τὸν Ὕλαν, καὶ ἐποίησαν ἠχώ· καὶ πρὸς τὴν βο-
ήν, πολλάκις ἀντεφώνησεν Ἡρακλεῖ· καὶ ὁ μὲν
ὡς οὐκ ἐδύνατο, πολλὰ ταλαιπωρησάμενος ἐξευρεῖν
τὸν Ὕλαν, παρεγένετο πρὸς τὴν ναῦν· καὶ αὐτὸς
μὲν ἔπλει μετὰ τῶν ἀριστέων· Πολύφημον δὲ κα-
ταλείπει ἐν τῷ χωρίῳ, εἴ πως δύναιτο ζητῶν
ἐξευρεῖν αὐτὸν τὸν Ὕλαν· καὶ ὁ μὲν Πολύφημος,
ἔφθη τελευτήσας· Ὕλᾳ δὲ θύουσιν ἄχρι νῦν
παρὰ τὴν κρήνην οἱ ἐπιχώριοι· καὶ αὐτὸν ἐξ ὀ-
νόματος τρὶς ὁ ἱερεὺς φωνεῖ, καὶ τρὶς ἀμεί-
βεται πρὸς αὐτὸν ἠχώ:

κζ Ἰφιγένεια

Θησέως καὶ Ἑλέ-
νης τῆς Διός, ἐγένετο θυγάτηρ Ἰφιγένεια· καὶ
αὐτὴν ἐξέτρεφεν Κλυτημνήστρα ἀδελφὴ [illegible]

ταῖς κεκάρθαι· πρὸς δὲ τὸν Ἀγαμέμνονα ὡς πέναι
τὴν τελείαν· ἐλέγετο γὰρ πυνθανομένη τῶν ἀδελ-
φῶν, ἐφ᾽ ἣν κόρη παραθήκουσα ἀπονεμηθῆν· ἐπεὶ
δὲ κρατεῖσαι κὴ τῶν Ἀχαιῶν, ὑπὸ ἀπορίας ἐν Αὐλί-
δι κατεσχέθη· προ ε σήμαινον οἱ μάντεις· ὅτι ἔσοι-
το πλοῦς, ἐὰν Ἀρτέμιδι θύσωσι τὴν Ἰφιγένειαν·
Ἀγαμέμνονος δὲ διδόντος σφάγιον ὡραίαν τὴν, αἰ-
τούντων τῶν Ἀχαιῶν· πρὸς δὲ τὸν βωμὸν ἀγο-
μένην, οἱ μὲν ἄριστοι, οὐ προσεικέναι· ἀλλὰ πα-
τὴρ ἔρεισαν ἀλλήλοις ὅτε· Ἄρτεμις δέ, ἀντὶ τῆς
Ἰφιγενείας, παρὰ τὸν βωμὸν ἔθηκεν μόσχον·
αὐτὴν δὲ προσέταξε τῆς Ἑλλάδος ἀποκινεῖν
κεῖσθαι τὸν ἐξαίνον γενόμενον πόντον, παρ᾽ αὐτὸ
ἄρτι τοὺς κορισθέντας παῖδας· καὶ τὸ μὲν ἔθνος
ἐκεῖνο τῶν νομάδων, ἐκάλεσε Ταύρους· ἔστησαν
τὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμόν, ἔθηκεν
ταῦρον αὐτὴν δὲ ταυροπόλου· κατὰ δὲ χρόνον
ἥκουσα μένον, ἀποπλεῖ τὴν Ἰφιγένειαν στῆναι
κλὴν γενομένην παρὰ τὸν Ἀχιλλέα· καὶ ἀλλά-
ξασα, ἐποίησεν αὐτὴν ἀγήρων καὶ ἀθάνατον
δαίμονα· καὶ ὠνόμασεν ἀντὶ τῆς Ἰφιγενεί-
ας, Ὀρσιλοχίαν· ἐγένετο δέ, Ἀχιλλέως σύνοικος:

ΤΥΦΩΝ

ΚΗ΄ Τυφῶν, ἐγένετο γῆς υἱός, ἐξαίσιος δαίμων πρὸς
ἰσχύν· κατὰ δὲ τὴν ὄψιν παρηλλαγμένος· ἐπε-
φύκεσαν γὰρ κεφαλαὶ πλεῖσται· καὶ χεῖρες, καὶ
πτέρυγες· ἐκ δὲ τῶν μηρῶν, μέγιστοι δράκον-
των σπεῖραι· φωνὰς δὲ παντοίας ἠφίει· καὶ αὐ-
τὸν οὐδὲν ὑπέμενεν ἴσως κινοῦντος· ἐπεθύμη-
σε τοῦ Διὸς ἔχειν τὴν ἀρχήν· καὶ αὐτὸν ἐπερ-
χόμενον, οὐδεὶς ὑπέμεινε τῶν θεῶν· ἀλλὰ δείσαν-
τες, ἔφυγον ἅπαντες εἰς Αἴγυπτον· Ἀθηνᾶ δὲ
καὶ Ζεύς, ὑπελείφθησαν μόνοι· Τυφῶνι δὲ ἐκπο-
δὼς ἐδίωκεν· οἱ δὲ προμηθεῖς καὶ δὲ ἔφυγον.

ἀλλάξαντες ἐς ζῶια τὰς ὄψεις· καὶ Ἀπόλλων μὲν
ἐγένετο ἱέραξ· Ἑρμῆς δὲ ἶβις· Ἄρης δὲ λεπιδω-
τὸς ἰχθύς· Ἄρτεμις δὲ αἴλουρος· τράγῳ δὲ
εἰκάζεται Διόνυσος· ἐλλῷ δὲ Ἡρακλῆς· βοῒ δὲ Ἥ-
φαιστος· μυγαλῇ δὲ Λητώ· καὶ ὡς ἕκαστος ἐτύ-
χε τῶν ἄλλων θεῶν μετεκοσμεῖτο τὴν ὄψιν· Ζεὺς δὲ
Τυφῶνα ζὰς ἔβαλλε κεραυνῷ· καὶ ὁ μὲν φλεγόμενος δὲ
ὁ Τυφῶν, ἔκρυψεν ἑαυτὸν καὶ κατέσβεσε τὴν φλό-
γα τῇ θαλάσσῃ· Ζεὺς δ' οὐ καθῆκεν, ἀλλ' ὄρος μέγι-
στον ὄρος ἐπιβάλλει τῷ Τυφῶνι τὴν Αἴτνην· καὶ αὐτῷ
φύλακα τὸν Ἥφαιστον ἐπὶ τῶν ἄκρων ἐφίστησιν·
ὁ δὲ ἐνερείσας τοὺς ἄκμονας αὐτοῦ τῷ τραχήλῳ,
διάπυρον ἐργάζεται μύδρον: Προίτου θυ-
γάτηρ ἐν Θήβαις ἐγένετο Γαλινθιάς· αὕτη παρ-
θένος ἦν συμπαίκτρια καὶ ἑταίρα Ἀλκμήνης
τῆς Ἠλεκτρύωνος· ἐπεὶ δὲ Ἀλκμήνην ὁ τόκος
κατήπειγεν τοῦ Ἡρακλέους, Μοῖραι καὶ Εἰλείθυια πρὸς
χάριν τῆς Ἥρας, κατεῖχον ἐν ταῖς ὠδῖσι τὴν Ἀλ-
κμήνην· καὶ αὗται μὲν ἐκαθέζοντο κρατοῦσαι
τὰς ἑαυτῶν χεῖρας· Γαλινθιὰς δὲ δείσασα μὴ
Ἀλκμήνην ἐκμήνωσι καρυνομένην ἐκ τῶν πόνων,
δραμοῦσα παρ' αὐτὰς τὰς Μοίρας καὶ τὴν Εἰλείθυι-
αν, ἐξήγγειλεν ὅτι Διὸς βουλήσει γέγονεν Ἀλκμή-
νῃ παῖς κόρος· αἱ δὲ ἐκπλαγεῖσαι κατα-
λύονται· προσδοκοῦσαι ἐκ Διὸς ἐξανεῖσαν τὰς
Μοίρας, καὶ ἀνῆκαν εὐθὺς τὰς χεῖρας· Ἀλκμή-
νην δὲ κατέλιπον εὐθὺς αἱ ὠδῖνες, καὶ ἐγέ-
νετο Ἡρακλῆς· αἱ δὲ Μοῖραι, πένθος ἐποιήσαντο.
καὶ τῆς Γαλινθιάδος ἀφείλοντο τὴν κορείαν, ὅτι
θνητὴ τοὺς θεοὺς ἐξηπάτησεν· καὶ αὐτὴν
ἐποίησαν δολερὰν γαλῆν· καὶ δίαιταν ἔδωκαν
ἐν τοῖς μυχοῖς, καὶ ἄμορφον ἀπέδειξαν τὴν εὐ-
νήν· θορίσκεται μὲν γὰρ διὰ τῶν ὤτων· τίκτει

ΗΤΟΝ ΚΑΙΟΜΕΝΟ ΥΠΟ ΤΗΝ ΑΙΤΝΗΝ ΠΗΔΑΛΙΤΗ

κθ ΓΑΛΙΝΘΙΑΣ

ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ̄

δ᾽ ἀναφέρουσα τὸ κυούμενον διὰ τοῦ τραχήλου.
ταύτην δ᾽ ἑκάτη πρὸς τὴν μετακόσμησιν τῆς ὄψε-
ως ᾤκτειρεν· καὶ ἀπέδειξεν ἱερὰν αὐτῆς
διάκονον. ἡρακλῆς δ᾽ ἐπεὶ ηὐξήθη, τὴν χά-
ριν ἐμνημόνευσε· καὶ αὐτῆς ἐποίησεν ἀφίδρυ-
μα παρὰ τὸν οἶκον· καὶ ἱερὰ προσήνεγκε.
ταῦτα νῦν ἔτι τὰ ἱερὰ θηβαῖοι φυλάττουσι·
καὶ πρὸ ἡρακλέους ἑορτῆς θύουσι γαλινθιά-
δι πρώτῃ:

ΒΙΒΛΙϹ λ

ἀπόλλωνος καὶ ἀκακαλλίδος
τῆς μίνω θυγατρὸς, ἐγένετο παῖς ἐν κρήτῃ μί-
λητος. τοῦτον ἀκακαλλὶς δείσασα μίνω ἐ-
ξέθηκεν εἰς τὴν ὕλην· καὶ αὐτὸν ἐπιφοιτῶντες
λύκοι κατὰ βουλὴν ἀπόλλωνος ἐφύλαττον· καὶ
ὤρεγον παρ᾽ ἀμοιβὰς γάλα. ἔπειτα δὲ βουκό-
λοι περιτυχόντες, ἀνείλοντο καὶ ἔτρεφον ἐν τοῖς
οἴκοις. ἐπεὶ δὲ ὁ παῖς ηὔξετο καὶ ἐγένετο κα-
λὸς καὶ δραστήριος, καὶ ὁ μίνως κατὰ τοῦτον
ἐπεχείρησε βιάζεσθαι, τότε νυκτὸς ὁ μίλητος
ἐμβὰς ἐς ἀκάτιον, κατὰ γνώμην σαρπηδόνος ἐς
καρίαν ἀπέδρα. καὶ πόλιν ἐνταῦθα
κτίσας μίλητον. ἔγημεν εἰδοθέαν τὴν
εὐρύτου θυγατέρα τοῦ βασιλέως τῶν καρῶν·
καὶ γενομένων δὲ διδύμων παίδων αὐτῷ, καύνου
καὶ βυβλίδος· ἀφ᾽ οὗ πόλις ἐστὶν ἔτι νῦν ἐν καρίᾳ:
καῦνος καὶ βυβλίς· ταύτης, ἐγένοντο πλεῖστοι
μνηστῆρες ἐπιχώριοι· καὶ καταλεγομένων ἐκ τῶν
πέριξ πόλεων. ἡ δὲ τῶν μὲν λόγον ἐποιεῖτο
βραχύν· αὐτὴν δὲ, ἄφατος ἔρως ἐξέμηνε
τοῦ καύνου· καὶ τὸ πάθος, ἄχρι μὲν ἐδύνατο
κρύπτειν, ἐλελήθει τοὺς γονέας· ἐπεὶ δὲ καθ᾽ ἡ-
μέραν εἴχετο χαλεπωτέρῳ δαίμονι, νυκτὸς ἔ-
γνω κατακρημνίσαι ἐκ τῆς πέτρας ἑαυτήν· καὶ
ἧκεν ἐς τὸ πλησίον ὄρος· παρελθοῦσα δ᾽ ἵνα

ἱστορεῖ νίκανδρος ἑτεροιουμένων β

ἑαυτὴν ἐξ ἄκρης ἐφίει· νύμφαι δὲ κατέσχον, οἰκτεί-
ρασαι· καὶ πολὺν ὕπνον ἐνέβαλον· καὶ αὐτὴν ἐκ
μετῆξαν ἀνθρώπων ἐς δαίμονα· καὶ ὠνόμασαν ἀμα-
δρυάδα νύμφην Βυβλίδα· καὶ ἐποιήσαντο
σύνδιαιτον ἑαυταῖς καὶ ἑταίραν· καὶ τὸ ῥέον
ἐκ τῆς πέτρας ἐκείνης ἄχρι νῦν παρ' αὐτοῖς ἐ-
πιχωρίοις, δάκρυον Βυβλίδος:

πα — Μεσσάπιοι

Λυκάο-
νος τοῦ αὐτόχθονος, ἐγένοντο παῖδες· Ἰάπυξ
καὶ Δαύνιος· καὶ Πευκέτιος· οὗτοι λαὸν ἀθροί-
σαντες, ἀφικνοῦνται τῆς Ἰταλίας παρὰ τὸν Ἀ-
δρίαν· ἐξελάσαντες δὲ τοὺς ἐνταῦθα οἰκοῦν-
τας Αὔσονας, αὐτοὶ καθιδρύθησαν· ἦν δὲ τὸ
πλεῖστον αὐτοῖς τῆς στρατιᾶς ἔποικον, Ἰλλυριοὶ
Μεσσάπιοι· ἔπειτα δὲ τὸν στρατὸν ἅμα καὶ τὴν
γῆν ἐμερίσαντο τριχῇ· καὶ ὠνόμασαν ὡς ἑκά-
στοις ἡγεμόνος εἶχε· Δαυνίους· καὶ Πευκετί-
ους· καὶ Μεσσαπίους· τὸ μὲν ἀπὸ Τάραντος ἄ-
χρι πρὸς τὴν ἐσχατιὰν τῆς Ἰταλίας· ἐγένε-
το Μεσσαπίων, ἐν ᾗ πόλις οἰκεῖται Ὑρεντῖνοι·
τὸ δὲ παρ' αὐτὴν ἐντὸς τοῦ Τάραντος, ἐγένετο Πευ-
κετίων· ἐνδοτέρω δὲ τούτου τῆς θαλάσσης
ἐπέκεινα Δαύνιοι· τὸ δὲ σύμπαν ἔθνος, ὠνό-
μασαν Ἰαπύγων· καὶ ἐγένετο ταῦτα, πολὺ πρὸ
τῆς Ἡρακλέους στρατείας· ἦν δὲ τοῖς τότε βί-
ος, ἀπὸ θρεμμάτων καὶ νομῆς· μυθολογοῦσιν
οὖν ἐν τῇ Μεσσαπίων γῇ· παρὰ τὰς λεγομέ-
νας Ἱερὰς πέτρας· φανῆναι νύμφας ἐπιμη-
λίδας χορευούσας· τοὺς δὲ παῖδας τῶν Μεσ-
σαπίων, καταλιπόντας τὰ ποίμνια καὶ θεω-
μένους, φάναι, ὅτι κάλλιον αὐτοὶ χορεύουσιν·
οὗτος ὁ λόγος, ἔκνιξε τὰς νύμφας· καὶ τὸ
νεῖκος ἐπὶ πλεῖον ἐγένετο, περὶ τῆς χορείας·
οἱ δὲ παῖδες, ὅτι μὲν κρίνειν αὐτοῖς ἅμιλλαν πρὸς

Ἱστορεῖ Νίκανδρος ἐν ἑτεροιουμένων β̄

δαίμονας ἠγνόουν· ἐχόρευον δὲ οἷα πρὸς ὁμηλί-
κας θνητάς· καὶ ὁ τρόπος αὐτοῖς τῆς ὀρ-
χήσεως ἅτε ποιμένων, ἄμουσος ἦν· ταῖς
δὲ νύμφαις πᾶν ὅσον κατεσπούδαστο ἐς
τὸ κάλλος. καὶ ἐπεκράτησαν χορεύουσαι τῶν
παίδων. καὶ ἔλεγον πρὸς αὐτοὺς τάδε· ὦ
κοῦροι, τὸ μάταιον ἐκρίνασθε πρὸς ἐπιμηλίδας
νύμφας; οὐκοῦν νῦν ἄφρονες νικώμενοι
δώσετε δίκην. καὶ οἱ παῖδες ἵνα ἔστησαν ἐπί-
κα(ι)ρον παρὰ τὸ ἱερὸν τῶν νυμφῶν, ἐγένοντο
δένδρα. καὶ ἔτι νῦν ἀκούεται φωνὴ νύκτωρ
ἐκ τῶν στελεχῶν, οἷα θρηνούντων. ὁ δὲ τόπος

Δρυόπη ΛΒ

ὀνομάζεται, νυμφῶν τε καὶ παίδων: Δρύ-
οψ ἐγένετο Σπερχειοῦ παῖς τοῦ ποταμοῦ, καὶ
Πολυδώρης μιᾶς τῶν Δαναοῦ θυγατέρων.
οὗτος ἐβασίλευσεν ἐν τῇ Οἴτῃ. καὶ θυγάτηρ
αὐτῷ μονογενὴς ἐγένετο Δρυόπη. καὶ ἐποί-
μαινεν αὐτὴ τὰ πρόβατα τοῦ πατρός. ἐπεὶ
δὲ αὐτὴν ἠγάπησαν ὑπερφυῶς ἁμαδρυά-
δες νύμφαι, καὶ ἐποιήσαντο συμπαίκτριαν
ἑαυτῶν, ἐδίδαξαν ὑμνεῖν θεούς, καὶ χορεύ-
ειν. ταύτην ἰδὼν Ἀπόλλων χορεύουσαν, ἐπε-
θύμησε μιχθῆναι. καὶ ἐγένετο πρῶτα μὲν

χελώνη

χελώνη. ἐπεὶ δὲ ἡ Δρυόπη σὺν ταῖς μετ' αὐτῶν
νυμφῶν καὶ παίγνιον ἐποιήσαντο τὴν χελώ-
νην, καὶ αὐτὴν ἐνέθετο εἰς τοὺς κόλπους· με-
ταβαλὼν ἀντὶ τῆς χελώνης ἐγένετο δράκων.
καὶ αὐτὴν κατέλιπον αἱ νύμφαι ἀποσοβηθεῖσαι·
Ἀπόλλων δὲ Δρυόπῃ μίγνυται. ἡ δὲ ᾤχε-
το φεύγουσα περίφοβος εἰς τὰ οἰκία τοῦ πατρός,
καὶ οὐδὲν ἔφρασε πρὸς τοὺς γονέας. ἐπεὶ
δὲ γήμει αὐτὴν ὕστερον Ἀνδραίμων ὁ Ὀξύ-
λου, γεννᾷ παῖδα ἐξ Ἀπόλλωνος Ἄμφισσον.

ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α΄:

οὗτος ἐπεὶ τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο πρῶ-
των κρατῶν καὶ ἔκτισε παρὰ τὴν Οἴτην πό-
λιν, ὁμώνυμον τῷ ὄρει. καὶ τῶν ἐκεῖ τόπων ἐ-
βασίλευεν. ἱδρύσατο δὲ καὶ Ἀπόλλωνος ἱερὸν
ἐν τῇ Δρυοπίδι. καὶ ἀφ' οὗ τὸ παροῦσαν τὸ ἱε-
ρὸν Δρυόπην, ἥρπασαν Ἁμαδρυάδες νύμ-
φαι κατεζμένσαν. καὶ αὐτὴν μὲν, ἀπέκρυψαν
ἐς τὴν ὕλην· ἀντὶ δὲ ἐκείνης αἴγειρον ἀνέφη-
ναν ἐκ τῆς γῆς· καὶ παρὰ τὴν αἴγειρον, ὕδωρ
ἀνέρρηξαν· Δρυόπη δὲ μετέβαλε· καὶ ἀντὶ
θνητῆς ἐγένετο νύμφη. Ἄμφισσος δὲ ἀν-
τὶ τῆς πρὸς τὴν μητέρα χάριτος, ἱερὸν ἵ-
δρύσατο νυμφῶν· καὶ πρῶτος ἀγῶνα ἐπε-
τέλεσε δρόμου· καὶ ἔτι νῦν οἱ ἐπιχώριοι, τὸν
ἀγῶνα διαφυλάσσουσι τοῦτον· γυναικὶ δ' οὐ
χ ὅσιον παρατυχεῖν· ὅτι Δρυόπην ἀφανισθεῖ-
σαν ὑπὸ νυμφῶν· δύο παρθένοι τοῖς ἐπιχω-
ρίοις ἐδήλωσαν· πρὸς ἃς ἐχαλέπηναν αἱ
νύμφαι· καὶ αὐτὰς ἀντὶ παρθένων, ἐλάτας
ἐποίησαν:

λγ ΑΛΚΜΗΝΗ

μετὰ τὸν Ἡρακλέους ἐξ ἀν-
θρώπων ἀφανισμόν· Εὐρυσθεὺς ἐξελάσας αὐ-
τοὺς τῆς πατρίδος, αὐτὸς ἐβασίλευεν· οἱ
δὲ Ἡρακλεῖδαι, καταφυγόντες πρὸς Δημο-
φῶντα τὸν Θησέως, ᾤκησαν Τετράπολιν
τῆς Ἀττικῆς. Εὐρυσθεὺς δέ, πέμψας ἀγγέ-
λους Ἀθήναζε, πόλεμον προέλεγεν τοῖς
Ἀθηναίοις, ἂν μὴ τοὺς Ἡρακλείδας ἐξελαύ-
νωσιν· οἱ μὲν οὖν Ἀθηναῖοι, τὸν πόλεμον οὐ-
κ ἀπολέγονται· Εὐρυσθεὺς δὲ ἐνέβαλεν εἰς τὴν
Ἀττικήν· καὶ παραταξάμενος, αὐτὸς μὲν
ἀποθνήσκει μαχόμενος· ἡ δὲ πληθὺς
ἐτράπη τῶν Ἀργείων· Ὕλλος δὲ καὶ οἱ ἄλλοι Ἡρα-
κλεῖδαι καὶ σὺν αὐτοῖς, ἀποθανόντος Εὐρυσθέ-

ἱστορεῖ Φερεκύδης

ως, καὶ τοι κεζονται ὥσπερ μὲν ἐτεθνήκασιν. ἐπεὶ δὲ
τούτοις καὶ ἀλκμήνη κατὰ γῆρας ἀποθνή-
σκει. καὶ αὐτὴν ἐξεκόμισαν ἡρακλεῖδαι·
ᾤκουν δὲ παρὰ τὰς ἠλέκτρας πύλας,
ὅθι περ καὶ ἡρακλῆς ἐν τῇ ἀγορᾷ. ζεὺς
δὲ ἑρμῆν πέμπει κλέψοντα ἀλκμήνην ἐκ
κηδείας, καὶ ἀπενεγκεῖν εἰς μακάρων νήσους,
καὶ δοῦναι ῥαδαμάνθυϊ γυναῖκα. ἑρμῆς
δὲ πειθόμενος ἀλκμήνην ἐκκλέπτει· λίθον δὲ ἀν-
τ' αὐτῆς ἐντίθησιν εἰς τὴν σορόν. οἱ δ' ἡρακλεῖ-
δαι ἐπεὶ τὴν σορὸν φέροντες ἐβαρύνον-
το, κατατιθέασι καὶ ἀποκαλύψαντες εὗρον
ἀντὶ τῆς ἀλκμήνης λίθον. καὶ αὐτὸν ἐξε-
λόντες ἔστησαν ἐν τῷ ἄλσει, ὅθι περ ἐστὶ τὸ ἡ-
ρῷον τὸ τῆς ἀλκμήνης ἐν θήβαις.

ΣΜΥΡΝΑ λδ

θείαν-
τος τοῦ βήλου καὶ ὀρειθυίας μιᾶς τῶν νυμ-
φῶν, ἐγένετο θυγάτηρ ἐν τῷ ὄρει τῷ λιβά-
νῳ σμύρνα. ταύτης διὰ κάλλος πολλοὶ καὶ
ἐκ πόλεων πολλῶν ἐμνήστευον. ἡ δὲ πολλὰς
ἐμηχανᾶτο πρὸς ἀπάτην τῶν γονέων, καὶ
ἀναβολὴν τοῦ χρόνου· δεινὸς γὰρ αὐτὴν ἔρως
ἐξέμηνεν ἐπὶ τῷ πατρί. καὶ κατὰ μὲν ἀρχὰς
διὰ αἰδῶ κατέκρυπτε τὴν νόσον· ἐπεὶ δὲ τὸ
πάθος αὐτὴν προήγαγεν, ἐξεῖπε τὸν λόγον πρὸς
ἱππολύτην τὴν τροφόν. ἡ δὲ παραδοῦσα νῦν
τινὰ ἴασιν τοῦ παραλόγου πάθους ὑποσχομέ-
νη, λόγον πρὸς τὸν θείαντα προσέφερεν· ὅτι
αὐτῷ κόρη καλὴ κἀρίων ἀνθρώπων, ποθεῖ πα-
ραγενέσθαι κρυφαίως εἰς τὴν κοίτην. ὁ δὲ θεί-
ας, οὐ γὰρ ἐγίνωσκεν ὅσα ἐπ' αὐτῷ ἐμηχανᾶ-
το, καὶ ἐδέξατο τὸν λόγον. καὶ ὁ μὲν ἐν τῷ οἴκῳ
σκοταῖος ἐπὶ τῆς [illegible], ἐξεδέχετο τὴν
κόρην. ἡ δὲ τροφὸς κατακρύψασα τῇ ἐσθῆτι

τὴν σμύρναν παρήγαγεν· καὶ πλεῖον αἰ χρόνον
ἐγεγόνει, πρασσομένων ἄχαρι καὶ ἀθέσμου ἔργου·
καὶ ὁ θεῖας ἐπεθύμει [illegible] τὴν σμύρναν· [illegible]
[illegible] τὴν ἐπὶ τὴν κλίνην ἰοῦσαν· καὶ ὁ μὲν κα-
τέκρυψε [illegible] σμύρναν δὲ ὡς ἐξίκετο πρὸς
αὐτόν· ἐπεὶ προσεγένετο, προενεχθέντος ἐξαπί-
νης τοῦ πυρός· καὶ τὸ βρέφος μὲν ἐξέβαλεν ἐκ
τῆς γαστρός· αὕτη δ' ἀνασχοῦσα τὰς χεῖρας, ηὔξα-
το μήτε παρὰ ζῶσι μήτε ἐν νεκροῖς φανῆναι· καὶ
αὐτὴν ὁ ζεὺς μεταβαλὼν, ἐποίησε δένδρον· καὶ
ἐκάλεσεν ὁμώνυμον αὐτῇ σμύρναν· τοῦτο λέγε-
ται κατ' ἔτος ἐκδακρύειν τὸν ἀπὸ τοῦ ξύλου
καρπόν· καὶ θεῖας μὲν ὁ πατὴρ τῆς σμύρνης διὰ
ἔργον ἀθέμιστον, ἑαυτὸν ἀνεῖλε· τὸ δὲ βρέφος δι-
ὸς βουλῇ τρεφόμενον, ὠνόμασαν ἄδωνιν·
καὶ αὐτὸν ἀφροδίτη ὑπερηγάπησε, διὰ τὸ
κάλλος:

λε — ΒΟΥΚΟΛΟΙ

Λητὼ, ἐπεὶ ἔτεκεν ἀπόλλωνα καὶ
ἄρτεμιν ἐν ἀστερίᾳ τῇ νήσῳ, ἀφίκετο ἐς λυκίαν,
ἐπιφερομένη τοὺς παῖδας ἐπὶ τὰ λουτρὰ τοῦ
ξάνθου· καὶ ἐπεὶ τάχιστα ἐγένετο ἐν τῇ γῇ ταύ-
τῃ, ἐνέτυχε πρῶτα μὲν τῇ κρήνῃ· καὶ προε-
θυμεῖτο πρὶν ἐπὶ τὸν ξάνθον ἐλθεῖν, ἐνταῦθοι
τοὺς παῖδας ἀπολοῦσαι· ἐπεὶ δ' αὐτὴν ἐξήλα-
σαν ἄνδρες βουκόλοι, ὅπως ἂν αὐτοῖς οἱ βόες ἐκ
τῆς κρήνης πίωσιν, ἀπαλλαγεῖσα καταλαμβάνου-
σα τὴν [illegible]· λύκοι δὲ συναντόμε-
νοι καὶ σαίνοντες, ὑφηγήσαντο τῆς ὁδοῦ· καὶ
ἀπήγαγον, ἄχρι πρὸς τὸν ποταμὸν αὐτὴν τὸν
ξάνθον· ἡ δὲ πιοῦσα τοῦ ὕδατος καὶ ἀπολού-
σασα τοὺς παῖδας, τὸν μὲν ξάνθον, ἱερὸν ἀπέ-
δειξεν ἀπόλλωνος· τὴν δὲ γῆν τρεμιλίδα λε-
γομένην, λυκίαν μετωνόμασεν, ἀπὸ τῶν κατη-
γησαμένων λύκων· ἐπεὶ δὲ τὴν κρήνην αὐτὴ

ΠΟΘΕΝ ΤΗ ΛΥΚΙΑ ΧΩΡΑ ΤΟ ΟΝΟΜΑ:

ἹΣΤΟΡΕῖ ΜΕΝΕΚΡΆΤΗΣ ΞΆΝΘΙΟΣ ΛΥΚΙΑΚΟῖΣ Κ(ΑῚ) ΝΊΚΑΝΔΡΟΣ·

ἐξίκετο. δ' ἐκείνη ἔτι βαλοῦσα τοῖς ἀπολούσασι μὲν
τὴν βουκόλοις· καὶ οἱ μὲν ἀπελούοντο ἔτι παρὰ
τὴν κρήνην τοὺς βοῦς, Λητὼ δὲ μεταβαλοῦσα
πάντας ἐποίησε βατράχους· καὶ λίθῳ τραχεῖ
τύπτουσα τὰ νῶτα καὶ τοὺς ὤμους, κατέβαλε πάν-
τας ἐς τὴν κρήνην· καὶ κοινὸν ἔθηκεν αὐτοῖς καὶ
ὕδατος· οἱ δ' ἄχρι νῦν παρὰ ποταμοὺς βοῶσι καὶ

ΠΑΝΔΑΡΕΟΣ λϚ

λίμνας: Ἡνίκα Ῥέα φοβουμένη Κρόνον,
κατέκρυψεν ἐν τῷ κευθμῶνι τῆς Κρήτης τὸν
Δία τότε αὐτὸν ἐξέτρεφεν αἲξ νύμφη μαστὸν ὀ-
ρέγουσα· τὴν αἶγα δὲ Ῥέας βουλῇ κύων χρύσε-
ος ἐφύλαττεν· ἐπεὶ δὲ Ζεὺς Τιτᾶνας ἐξελάσας
τὸν Κρόνον ἀφείλετο τῆς ἀρχῆς, ἐποίησε τὴν
μὲν αἶγα μεταβαλὼν ἀθάνατον· καὶ αὐτῆς ἔτι
νῦν τὸ εἴδωλόν ἐστιν ἐν τοῖς ἄστροις· τὸν δὲ κύνα
τὸν χρύσεον ἀπέδειξε φυλάττειν τὸ ἱερὸν ἐν
Κρήτῃ· τοῦτον Πανδάρεος ὁ Μέροπος κλέψας
ᾤχετο φέρων ἐς Σίπυλον· καὶ αὐτὸν παρέδεξα-
το φυλάττειν παρ' αὐτοῦ Πανδάρεου Τάνταλος
ὁ Διὸς καὶ Πλουτοῦς· ἐπεὶ δὲ μετὰ χρόνον Παν-
δάρεος ἐλθὼν ἐς Σίπυλον ἀπῄτει τὸν κύνα,
Τάνταλος ὤμοσε μὴ εἰληφέναι· Ζεὺς δὲ Πανδάρεον
μὲν ἀντὶ τῆς κλοπῆς ἐποίησεν ὅθι περ ἔστη-
κε πέτρον· Τάνταλον δὲ ἐπεὶ τὸν ὅρκον ἐψεύσατο,
κατέβαλε· καὶ περὶ αὐτὸν ὑπὲρ κεφαλῆς τὸν

ΔΩΡΙΕΙΣ λζ

Σίπυλον: Διομήδης μετὰ τὴν ἅλωσιν Ἰλί-
ου παραγενόμενος ἐς Ἄργος, Αἰγιάλειαν μὲν
ἐμέμψατο τὴν γυναῖκα καὶ τὴν ἑαυτοῦ χάριν ἔργων
Ἀφροδίτης· αὐτὸς δὲ ἐς Καλυδῶνα τῆς Αἰτωλί-
ας, ἀφίκετο καὶ ἀνελὼν Ἄγριον καὶ τοὺς παῖδας,
Οἰνεῖ τῷ προπάτορι τὴν βασιλείαν ἀποδίδωσιν·
αὐτὸς δὲ πλέων ἐς Ἄργος, ὑπὸ χειμῶνος ἐς τὸν
Ἰόνιον ἐκβέβληται πόντον· ἐπεὶ δὲ παραγενόμε-

ταῖς δωροφορίαις πέμπεται· ἐπεὶ δ' ἐφωράθη τῆς παιδὸς ἡ
πρὸς αὐτὸν διαγγεῖλαι τὸ κελεῦσαι μιχθῆναι τῶν
γονέων· ἡ δὲ παῖς, ἐπεὶ τὸν λόγον ἤκουσε τῆς τροφοῦ,
αὐτὴν προσήνεγκε, κατεμήνυσε πρὸς τοὺς
γονέας· οἱ δὲ γλῶσσαν ἄκραν καὶ ῥῖνα καὶ δα-
κτύλους ἀποτεμόντες τῆς τροφοῦ, καὶ χα-
ᾐκισάμενοι ἀνοίκτρως, ἐξήλασαν ἐκ τῶν οἰ-
κιῶν· καὶ πρὸς τὸ ἔργον ἐνεμέσησεν ἡ θεός·
Ἀρκεοφῶν μὲν οὖν, καθ' ὑπερβολὴν πάθους
καὶ ὑποψίαν τὴν προσδοκῶν γάμων, ἑκὼν ἀποθνή-
σκει, κατὰ τὴν τροφῆς ἔνδειαν· οἱ δὲ πολῖται
τὸν θάνατον οἰκτείραντες, ἐπένθησαν· τῇ ἡμέ-
ρᾳ δὲ τρίτῃ τὸ σῶμα προήνεγκαν καὶ ἀνεθήκαν
μένοι οἱ προσήκοντες· καὶ οἱ μὲν ἐκήδευ-
σαν· Ἀρσινόη δὲ πρὸς ὕβριν ἐπεθύμησεν
ἐκ τῶν οἴκων ἐκκύψασα, τὸ σῶμα τοῦ Ἀρκεο-
φῶντος καιόμενον ἰδεῖν· καὶ ἡ μὲν ἐθεᾶ-
το· νεμεσήσασα δὲ τὸ ἦθος Ἀφροδίτη, μετέβαλεν
αὐτὴν καὶ ἐποίησεν ἐξ ἀνθρώπου λίθον· καὶ τοὺς
πόδας ἐρρίζωσεν ἐπὶ τὴν γῆν: καὶ ἔστι

Μ — ΒΡΙΤΟΜΑΡΤΙΣ

Ἐκ τῆς Ἀραβίου καὶ Φοίνικος τοῦ Ἀγήνορος, ἐ-
γένετο Κάρμη· ταύτῃ μιγεὶς Ζεύς, ἐγέννη-
σε Βριτόμαρτιν· αὕτη φεύγουσα τὴν ὁμιλίαν
τῶν ἀνθρώπων, ἠγάπησεν ἀεὶ παρθένος εἶναι·
καὶ παρεγένετο πρῶτα μέν, ἐπ' Ἄργος ἐκ Φοινί-
κης, παρὰ τὰς Ἐρασίνου θυγατέρας Βύζην·
καὶ Μελίτην καὶ Μαῖραν καὶ Ἀγχιρόην· ἔπειτα
δ' ἐκ τοῦ Ἄργους, ἐς Κεφαλληνίαν ἀνέβη· καὶ
αὐτὴν ὠνόμασαν οἱ Κεφαλλῆνες Λαφρίαν· καὶ
ἱερὸν ἤγαγον ὡς θεῷ· ἔπειτα ἔρχεται ἐς Κρή-
την· καὶ αὐτὴν ἰδὼν Μίνως καὶ ἐρασθεὶς, ἐδί-
ωκεν· ἡ δὲ κατέφυγε παρ' ἄνδρας ἁλιέας· οἱ
δὲ αὐτὴν κατεδέξαντο ταῖς δικτύαις· καὶ ἀπὸ

μασαν ἐκ τούτου Κρῆτες Δίκτυνναν. καὶ ἱερὰ
προσήνεγκαν. ἐκφυγοῦσα δὲ Μίνω ἀφίκετο
Βριτόμαρτις ἐς Αἴγιναν ἐν πλοίῳ σὺν ἀνδρὶ
ἁλιεῖ ÷ ÷ Ἀνδρομήδει. καὶ ὁ μὲν αὐτῇ ἐνεχείρη
σεν, ὀρεγόμενος μιχθῆναι. ἡ δὲ Βριτόμαρ
τις ἀποβᾶσα ἐκ τοῦ πλοίου, κατέφυγεν ἐς ἄλ
σος, ὅθι περ ἐστὶ νῦν αὐτῆς τὸ ἱερόν· κἀνταῦθα ἐ
γένετο ἀφανής. καὶ ὠνόμασαν αὐτὴν Ἀφαίαν.
ἐν δὲ τῷ ἱερῷ τῆς Ἀρτέμιδος, τὸν δὲ τόπον
ἐν ᾧ ἀφανὴς ἐγένετο Βριτόμαρτις, ἀφιέ
ρωσαν Αἰγινῆται. καὶ ὠνόμασαν Ἀφαίαν
καὶ ἱερὰ ἐπετέλεσαν ὡς θεῷ: Κέφαλος

Ἀλώπηξ μα

ὁ Δηίονος, ἔγημεν ἐν Θορικῷ τῆς Ἀττικῆς
Πρόκριν τὴν θυγατέρα τὴν Ἐρεχθέως. ἦν
δὲ ὁ Κέφαλος νέος καὶ καλὸς καὶ ἀνδρεῖος.
ἐρασθεῖσα δὲ διὰ τὸ κάλλος, ἥρπασεν αὐτὸν Ἠ
ώς, καὶ ἐποιήσατο σύνοικον. τότε δ' οὖν ὁ Κέφα
λος ἐπείρατο τῆς Πρόκριδος, εἰ μένειν ἐθέ
λοι ἄφθορος αὐτῷ ἐθελῆσαι. καὶ αὐτὸς μὲν
κατὰ θήραν τινὰ πρόφασιν ἐσκήψατο τῆς θήρας
ἱέναι. Πρόκριδι δὲ ἐπέστειλε ξένον ἄνδρα οἰκέ
την ἄγνωτα, φέροντα χρυσὸν πολύν. καὶ αὐτὸ
ἐδίδασκε λέγειν πρὸς τὴν Πρόκριν, ὅτι ἀνὴρ
ξένος ἐρασθεὶς δίδοι τοῦτο τὸ χρυσίον, εἰ αὐτῷ
συγγένοιτο. ἡ δὲ Πρόκρις τὸ μὲν πρῶτον ἀπο
λέγεται τὸν χρυσόν. ἐπεὶ δὲ διπλάσιον ἐπέμ
ψεν, ὁμολογεῖ καὶ προσδέχεται τὸν λόγον. ὁ δὲ
Κέφαλος, ὅτε αὐτὴν ἔγνω παρελθοῦσαν ἐς
τὸν οἶκον, καὶ κατακλιθεῖσαν τῷ παρὰ τοῦ ξέ
νου, δᾷδα καιομένην παρῆν ἔχων, καὶ κα
τεφώρασεν αὐτήν. Πρόκρις δὲ καταπλήττουσα
τὸν Κέφαλον ὑπ' αἰσχύνης, ᾤχετο φεύγουσα πα
ρὰ Μίνωα τὸν βασιλέα τῶν Κρητῶν. καταλαμβάνου

σα δὲ αὐτὸν ἐχόμενον ὑπ᾽ ἀπειλείας, ὑπισχνεῖτο
καὶ ἐδίδασκε τὸν τρόπον αὐτῷ· [illegible] ὄφεις καὶ σκορ-
πίους καὶ σκολοπένδρας· καὶ ἀπέθνησκον
αἱ γυναῖκες ὅσαις ἐμίγνυτο· πασιφάη δὲ ἦν ἡ-
λίου θυγάτηρ ἀθάνατος. ἡ οὖν πρόκρις ἐπὶ τῇ
γονῇ τοῦ μίνωος μηχανᾶται τοιόνδε· κύστιν αἰ-
γὸς ἐνέβαλεν εἰς γυναικὸς φύσιν· καὶ ὁ μίνως
τοὺς ὄφεις πρότερον ἐξέκρινεν εἰς τὴν κύ-
στιν· ἔπειτα δὲ παρὰ τὴν πασιφάην ἰὼν
ἐμίγνυτο· καὶ ἐπεὶ αὐτοῖς ἐγένοντο παῖδες,
ὁ μίνως δίδωσι τῇ πρόκριδι τὸν ἄκοντα καὶ
τὸν κύνα· τούτους δὲ οὐδὲν ἐξέφυγε θη-
ρίον· ἀλλὰ πάντα ἐχειροῦντο· καὶ ἡ πρόκρις
δεξαμένη, ἀφικνεῖται εἰς θορικὸν τῆς ἀττικῆς·
ὅπου ᾤκει ὁ κέφαλος· καὶ σὺν αὐτῷ κυνη-
γεῖ· ἐξαλλάξασα τὴν ἐσθῆτα· καὶ τὴν κουρὰν
τῆς κεφαλῆς ἐς ἄνδρα· καὶ οὐδεὶς αὐτὴν
ἰδὼν ἐγνώρισε· κέφαλος δὲ ἰδὼν ὅτι αὐτῷ
μὲν οὐδὲν ἐπιτυγχάνει τῶν πρὸς τὴν θήραν·
ἅπαντα δὲ συνεφέρετο πρὸς τὴν πρόκριν· ἐ-
πεθύμησεν αὐτὸς τὸν ἄκοντα τοῦτον λαβεῖν·
καὶ προσυπέσχετο δώσειν, αὐτῇ τῆς ὥρας
ἐθελούσῃ τῆς ἑαυτοῦ χαρίσασθαι· ὁ δὲ κέφα-
λος παρεδέξατο τὸν λόγον· καὶ ὅτε κατεκλίνησαν,
ἐξέφηνεν ἑαυτὴν ἡ πρόκρις· καὶ ὠνείδισε
τὸν κέφαλον, ἢ αὐτὸς πολὺ αἴσχιον ἐξαμάρ-
τοι· καὶ τὸν μὲν κύνα καὶ τὸν ἄκοντα λαμβά-
νει κέφαλος· ἀμφιτρύων δὲ χρῄζων τοῦ κυ-
νός, ἐξίκετο παρὰ τὸν κέφαλον· ἵνα ἐπέλθῃ-
σιν ἅμα αὐτῷ, ἐπὶ τὴν ἀλώπεκα κατήγαγον
τῷ κυνί· καὶ ὑπέσχετο τῆς λείας ἀμφιτρύων
ἀποίσειν τῷ κεφάλῳ τὴν μοῖραν, ἣν ἂν ἕλῃ
τῶν τηλεβοῶν λαφύρων· ἐφάνη γὰρ ἐν χρόνοι

ἐγύμνοις τοιαῦ-
δε· ὁ γὰρ μίνως
οὔρει ἀεί.

τούτοις ἀδελφοῖς ἀφανὴς χρήματι ἐξηλλα-
γμένον· αὐτὴ οὖν ἔχουσα ἐκ τούτου ἀφηκα σοῦ καὶ
πλουσία, πολλάκις τοὺς ἀδελφοὺς ἠργάζε-
το· καὶ αὐτὴ προὐτίθετο παιδίον διὰ τρία
κατὰ τὰς ἡμέρας. ἤδη δὲ καὶ ἡ κόρη ἐγαμίσκου-
σα· καὶ ἐπεὶ δὴ Ἀμφιτρύωνος ἑορτῆς· ὁ δὲ
ἤθελε ἀδελφῶν ἐπιτηδεύσας αὐτοῖς παρα-
τάσσει καὶ οἱ δοῦλοι κεφαλὰς ἀφελὼν αὐτοῖς τὴν
ἀφανίσει καὶ ... ἐπεὶ ἦλθεν Ἀμφιτρύ-
ων ἐπὶ τούτοις πρὸς τοὺς ἀδελφοὺς καὶ
ἐλθὼν πρὸς τὸν Κέφαλον, ἐλέγχει τὴν ...
κην· καὶ ἐπειδὴ ... ὁ
δὲ Κέφαλος ἀποδέχεται· καὶ ἐλθὼν κτείνει
... τὴν ἀφανισθεῖσαν ὑπὸ ...
... οὐδὲ τὸν καιρὸν ...
... ἐπεὶ δὲ ...
... ἐκ ...
... τρους ... θους :—

κεῖται δὲ ... τοῦ ... ἀφανισθεῖ[illegible]

+ Ἀντωνίνου Λιβεράλις
Μεταμορφώσεων
※ Συναγωγή: ※

Πάτρια Κωνσταντινουπόλεως κατὰ Ἡσύχιον ἰλλούστριον

209

[illegible] πάτρια [illegible]
[illegible] κατὰ [illegible]

Δύο καὶ ἑξήκοντα καὶ τριακοσίων ἐτῶν
τῆς αὐγούστου καίσαρος μοναρχίας
διεληλυθότων [illegible]
[illegible]
[illegible]
κωνσταντῖνος ὁ κωνσταντίου παῖς [illegible]
[illegible] μόνος τῶν σκήπτρων [illegible]
[illegible]
χρηματίζειν προστάξας· [illegible]
καὶ τυράννοις [illegible]
[illegible]

[illegible]

ρας τῆς ἱερουργίας ὑπὲρ ἁπάσας κρα-
χοῦσι μέρος. καὶ σέβρον μετὰ τοῦτο καλοῦμεν·
ὅ ἐστιν ἔχει τὴν τοῦ κωπηροῦ προσηγορί-
αν. κουκούρου τὴν τοῦ ὄρνιθος ὑποδε-
ξαμένου τῷ κήπῳ. ἀφ' οὗ ὕστερον καὶ κουκ-

Β — καιβικάμονο τὸ χωρίον ἐκλήθη. ὕστεροι
δὲ μένων ἀρ' ἐς ἱστορικοὶ ἀπὸ μικροῦ
τὸ γένος καταλέγοντες, ἐκ τοῦ μοῦ ἐν ὧ αὐ-
τοῖς ποιησαμένους τὸ τότε πῶς ὑπὲρ κυ-
μένη κικάμα αὐτῇ. ὕστερον τὴν προσηγορί-
αν μεταθεῖσι τῆς ποιμ προσθέντες.

Γ — ἄλλοι δὲ σεβαστηρικὸς τῆς ἐπιχωρίου
νησιωτικῆς τιμὰς διαγενομένοις τὸν
κικάμαρον ἀναμάτινουσιν. οἱ μὲν οὖν
— διαφόροις ἐχρήσαντο λόγοις. κἀκεῖ
δὲ πιθανωτάτην τὴν ἱστορίαν τοῖς ἐπιτυ-
χοῦσι καὶ ἐνδείξουσιν παραθήσομαι κου-
μένοι. ἐκείνης ἰνάχου θυγατρὸς ἰοῦς
τὴν ἀρχὴν προσφόρως ποιούμενοι.

Δ — ἰνάχου γὰρ τοῦ ἀργείων βασιλεύοντος γε-
νομένη θυγάτηρ ἰὼ ταύτης τὴν παρθε-
νίαν ἐφ' ὑμεταγενὲς ἄργος ὁ μονοκόμ-
— ματον μένουσιν. ἔστι δὲ ἐς ἄλλους ἐρασθεὶς
τῆς κόρης ζεὺς ἐς τὸ μὲν ἔργον δολοφο-
νῆσαι τὸν ἄργον. μετὰ δὲ ἐκ τούτου τῆς
παρθενίας ὑποδεόσ ἐς κουμένη
— κάμψαι. ἥρα δὲ χολωθεῖσα ἐπὶ τῷ γε-
νομένῳ ἡ ἰὼ μὲν ἐπὶ πασιμω τὴν λαμ-
ψας. καὶ διὰ ἀπασῶν αὐτὴν ἐλαύνειν ἐς
— ρᾶς καὶ ὑγρᾶς. ἔστι δὲ καὶ δὲ πρὸς τὴν
θάλασσαν ἐφ' ἱκέσθαι χώραν. ὁμοῖα μὲν
τῶν τότε κατὰ... τῷ ὑετῷ... αὐτὴ
δὲ πρὸς ἑκάστῳ καμοῦ μένον κέρας ἔσπευσεν

πόθεν τῷ ἴσιδος
σπορ τὸ ὄνομα

θοῦσαι· καὶ τὸ καθόλου δ' ἄρα ὅτι καὶ καρκίνος
συμμίσγονται· τοῖς δ' ἐνοικοῦσι προσθε-
σπίζοντας τὰ πάθεσι μένειν, παρ' αὐτὸν δὲ
μέτριος ὢν μὲν τῇ γενομένῃ κρό-
δυνάμει ἀποδεικνὺς κόρην· ἐξῆς καὶ κέρας
ὁ τόπος ὠνόμασται· ἀμφοῖν δὲ μᾶλλον
τὴν θέσιν τοῦ χωρίου, τοὔνομα καταπροϊεθέ-
ασιν· οἱ δὲ τὴν τῶν καρπῶν εὐπορίαν,
τὸ τῆς Ἀμαλθείας αἰγὸς κέρας προ-
σαγορεύουσιν· καὶ τοῖς νῦν κερόεσσαν
ῥαστῆς σεμέστραιν ὑπεξῆκε γραφήσεσθαι·
καὶ παραδόξοις μορφαῖς χαμαιπορευθεῖσαν,
ποιμένας θρασεῖς καὶ ὑπερβιαζομένους πα-
θόντος· τῶν ἰσοθεμάτων ταγμάτων
σαν δὲ μὴ ἐν τῷ τὸν καλούμενον κίζαν-
τα· τοὔνομα τοῦτο γενόμενοι, ὃ ἐκεῖθεν
τέθειας αὐτὸν κατὰ τὴν θρᾳκικὴν γῆν
ἐφηκεν κιζῦκος· καὶ μέχρι καὶ νῦν ὀνομαζο-
μένην· τῶν ἐπ' αὐτῶν ἀρύοντας· ὡς οὖν
ἐπὶ τὴν ἀκμὴν τῆς ἡλικίας ὄντες
προβαίνοντες καὶ τοῖς θρᾳκίοις ἐν
δενδρικὸν ὄρος ἐφορμοῦντας πρὸς τοὺς
